# 1. Before the Public Ministry

## No. 1 *[1].* Prologue / 序

| Mt 1:1 | Mk 1:1 | Lk 1:1-4 |
|---|---|---|
| **Mt1:1** Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ. | **Mk1:1** Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ [υἱοῦ θεοῦ]. | **Lk1:1** Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, **Lk1:2** καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, **Lk1:3** ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε, **Lk1:4** ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. |

**Jh1:1** Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. **Jh1:2** οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν.

## No. 2 *[13].* John the Baptist / バプテスマのヨハネの活動

| Mt 3:1-6 | Mk 1:2-6 | Lk 3:1-6 |
|---|---|---|
| ***Mt11:10*** *οὗτός ἐστιν περὶ οὗ γέγραπται,* *Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.* | **Mk1:2** Καθὼς γέγραπται ἐν* τῷ Ἠσαΐᾳ τῷ προφήτῃ, [* Cf. Lk3:4.] Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου· | ***Lk7:27*** *οὗτός ἐστιν περὶ οὗ γέγραπται,* *Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.* |
| | **Mk1:3** φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ, | |
| ---------- **Mt3:1** Ἐν δὲ ταῖς ἡμέραις | | ---------- **Lk3:1** Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετρααρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ |

| | | |
|---|---|---|
| παραγίνεται Ἰωάννης ὁ<br>βαπτιστὴς κηρύσσων<br>ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας | **Mk1:4** ἐγένετο Ἰωάννης [ὁ]<br>βαπτίζων<br>ἐν τῇ ἐρήμῳ | αὐτοῦ τετρααρχοῦντος τῆς<br>Ἰτουραίας καὶ Τραχωνίτιδος<br>χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς<br>τετρααρχοῦντος,<br>**Lk3:2** ἐπὶ ἀρχιερέως Ἅννα καὶ<br>Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ<br>Ἰωάννην τὸν Ζαχαρίου υἱὸν<br>ἐν τῇ ἐρήμῳ. |

**Jh1:6** Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης·

| | | |
|---|---|---|
| **Mt3:2** [καὶ] λέγων, Μετανοεῖτε;<br>ἤγγικεν γὰρ ἡ βασιλεία τῶν<br>οὐρανῶν.<br>**Mk3:3** οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς διὰ<br>Ἠσαΐου τοῦ προφήτου λέγοντος,<br>Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·<br>Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,<br>εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. | * Cf. Mt3:5/Mk1:5<br>καὶ κηρύσσων βάπτισμα μετανοίας<br>εἰς ἄφεσιν ἁμαρτιῶν.<br>** Cf. Mk1:2.<br>----------<br>*Mk1:3* φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·<br>Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,<br>εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ, | **Lk3:3** καὶ ἦλθεν εἰς πᾶσαν [τὴν]<br>περίχωρον τοῦ Ἰορδάνου*<br>κηρύσσων βάπτισμα μετανοίας<br>εἰς ἄφεσιν ἁμαρτιῶν,<br>**Lk3:4** ὡς γέγραπται ἐν**βίβλῳ<br>λόγων Ἠσαΐου τοῦ προφήτου,<br>Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·<br>Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,<br>εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ·<br>**Lk3:5** πᾶσα φάραγξ πληρωθήσεται<br>καὶ πᾶν ὄρος καὶ βουνὸς<br>ταπεινωθήσεται, καὶ ἔσται τὰ<br>σκολιὰ εἰς εὐθείαν<br>καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας·<br>**Lk3:6** καὶ ὄψεται πᾶσα σὰρξ τὸ<br>σωτήριον τοῦ θεοῦ. |

**Jh1:23** ἔφη, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης.

| | | |
|---|---|---|
| **Mt3:4** Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ<br>ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου<br>καὶ ζώνην δερματίνην περὶ τὴν<br>ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ ἦν αὐτοῦ<br>ἀκρίδες καὶ μέλι ἄγριον. | ----------<br>**Mk1:6** καὶ ἦν ὁ Ἰωάννης<br>ἐνδεδυμένος τρίχας καμήλου<br>καὶ ζώνην δερματίνην περὶ τὴν<br>ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων<br>ἀκρίδας καὶ μέλι ἄγριον. | |
| **Mt3:5** τότε ἐξεπορεύετο πρὸς αὐτὸν<br>Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ<br>πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου* ,<br>**Mt3:6** καὶ ἐβαπτίζοντο<br>ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ<br>ἐξομολογούμενοι τὰς ἁμαρτίας | ----------<br>**Mk1:5** καὶ ἐξεπορεύετο πρὸς αὐτὸν<br>πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ<br>Ἱεροσολυμῖται πάντες* ,<br>καὶ ἐβαπτίζοντο<br>ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ<br>ἐξομολογούμενοι τὰς ἁμαρτίας | * Cf. Lk3:3 |

| | | |
|---|---|---|
| αὐτῶν.<br>----------<br>***Mt3:4*** Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ ἦν αὐτοῦ ἀκρίδες καὶ μέλι ἄγριον. | αὐτῶν.<br><br>***Mk1:6*** καὶ ἦν ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. | |

## No. 3 *[14].* John's Preaching / ヨハネの説教

| Mt 3:7-10 | Mk | Lk 3:7-9 |
|---|---|---|
| **Mt3:7** Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ εἶπεν αὐτοῖς,<br>Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;<br>**Mt3:8** ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας<br>**Mt3:9** καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.<br>**Mt3:10** ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται˙ πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. | | **Lk3:7** Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ,<br>Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;<br>**Lk3:8** ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας<br>καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.<br>**Lk3:9** ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται˙ πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. |

**Jh8:39** Ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν.
**Jh15:5** ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. **Jh15:6** ἐὰν μή τις μένῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη καὶ συνάγουσιν αὐτὰ καὶ εἰς τὸ πῦρ βάλλουσιν καὶ καίεται.

## No. 4 *[16].* John Announces the "Coming One" / 「来たるべき者」の告知

| Mt 3:11-12 | Mk 1:7-8 | Lk 3:15-18 |
|---|---|---|
| | | **Lk3:15** Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς |

<table>
<tr><td></td><td></td><td>καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου,<br>μήποτε αὐτὸς εἴη ὁ Χριστός,</td></tr>
<tr><td colspan="3">Jh1:19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν [πρὸς αὐτὸν] οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας ἵνα ἐρωτήσωσιν αὐτόν, Σὺ τίς εἶ; Jh1:20 καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι Ἐγὼ οὐκ εἰμὶ ὁ Χριστός.... Jh1:25 καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ, Τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης;</td></tr>
<tr><td>Mt3:11 ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν,<br>ὁ δὲ ὀπίσω μου ἐρχόμενος<br>ἰσχυρότερός μού ἐστιν,<br>οὗ οὐκ εἰμὶ ἱκανὸς<br>τὰ ὑποδήματα βαστάσαι˙<br>αὐτὸς ὑμᾶς βαπτίσει<br>ἐν πνεύματι ἁγίῳ καὶ πυρί˙</td><td>Mk1:7 καὶ ἐκήρυσσεν λέγων,<br>Ἔρχεται ὁ ἰσχυρότερός μου<br>ὀπίσω μου,<br>οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι<br>τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.<br>Mk1:8 ἐγὼ ἐβάπτισα ὑμᾶς ὕδατι,<br>αὐτὸς δὲ βαπτίσει ὑμᾶς<br>ἐν πνεύματι ἁγίῳ.</td><td>Lk3:16 ἀπεκρίνατο λέγων πᾶσιν ὁ Ἰωάννης,<br>Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς˙<br>ἔρχεται δὲ<br>ὁ ἰσχυρότερός μου,<br>οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι<br>τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ<br>αὐτὸς ὑμᾶς βαπτίσει<br>ἐν πνεύματι ἁγίῳ καὶ πυρί</td></tr>
<tr><td colspan="3">Jh1:15 ...Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.<br>Jh1:26 ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι˙ μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε,<br>Jh1:27 ὁ ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ [ἐγὼ] ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.<br>Jh1:30 ...Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Jh1:31 ...ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων.<br>Jh1:33 ...ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι... ...οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.</td></tr>
<tr><td>Mt3:12 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον αὐτοῦ<br>εἰς τὴν ἀποθήκην,<br>τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ<br>ἀσβέστῳ.</td><td></td><td>Lk3:17 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ διακαθᾶραι τὴν ἅλωνα αὐτοῦ καὶ συναγαγεῖν τὸν σῖτον<br>εἰς τὴν ἀποθήκην αὐτοῦ,<br>τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ<br>ἀσβέστῳ.<br>Lk3:18 Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν.</td></tr>
</table>

## No. 5 *[18]*. The Baptism of Jesus / イエスの浸礼（バプテスマ）

| Mt 3:13-17 | Mk 1:9-11 | Lk 3:21-22 |
| --- | --- | --- |
| **Mt3:13** Τότε παραγίνεται<br>ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ<br>τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην<br>τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. | **Mk1:9** Καὶ ἐγένετο ἐν ἐκείναις<br>ταῖς ἡμέραις ἦλθεν Ἰησοῦς ἀπὸ<br>Ναζαρὲτ τῆς Γαλιλαίας | **Lk3:21** Ἐγένετο δὲ ἐν τῷ<br><br><br>βαπτισθῆναι ἅπαντα τὸν λαὸν |
| **Mt3:14** ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;<br>**Mt3:15** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν, Ἄφες ἄρτι, οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν αὐτόν. | **Jh1:32** ...Τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ' αὐτόν. **Jh1:33** Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, **Jh1:34** κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. | |
| **Mt3:16** βαπτισθεὶς δὲ ὁ Ἰησοῦς<br>εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος· | καὶ ἐβαπτίσθη εἰς τὸν Ἰορδάνην<br>ὑπὸ Ἰωάννου. | καὶ Ἰησοῦ βαπτισθέντος |
| | **Mk1:10** καὶ εὐθὺς ἀναβαίνων ἐκ<br>τοῦ ὕδατος | καὶ προσευχομένου |
| καὶ ἰδοὺ ἠνεῴχθησαν [αὐτῷ]<br>οἱ οὐρανοί, | εἶδεν σχιζομένους τοὺς οὐρανοὺς | ἀνεῳχθῆναι τὸν οὐρανὸν |
| καὶ εἶδεν [τὸ] πνεῦμα [τοῦ] θεοῦ<br>καταβαῖνον ὡσεὶ περιστερὰν [καὶ]<br>ἐρχόμενον ἐπ' αὐτόν· | καὶ τὸ πνεῦμα ὡς περιστερὰν<br>καταβαῖνον<br>εἰς αὐτόν· | **Lk3:22** καὶ καταβῆναι τὸ πνεῦμα<br>τὸ ἅγιον σωματικῷ εἴδει<br>ὡς περιστερὰν ἐπ' αὐτόν, |
| **Mt3:17** καὶ ἰδοὺ φωνὴ<br>ἐκ τῶν οὐρανῶν λέγουσα,<br>Οὗτός ἐστιν<br>ὁ υἱός μου ὁ ἀγαπητός,<br>ἐν ᾧ εὐδόκησα. | **Mk1:11** καὶ φωνὴ ἐγένετο<br>ἐκ τῶν οὐρανῶν,<br>Σὺ εἶ<br>ὁ υἱός μου ὁ ἀγαπητός,<br>ἐν σοὶ εὐδόκησα. | καὶ φωνὴν<br>ἐξ οὐρανοῦ γενέσθαι,<br>Σὺ εἶ<br>ὁ υἱός μου ὁ ἀγαπητός,<br>ἐν σοὶ εὐδόκησα. |
| ---------- | ---------- | ---------- |
| ***Mt17:5b*** *καὶ ἰδοὺ φωνὴ*<br>*ἐκ τῆς νεφέλης λέγουσα,*<br>*Οὗτός ἐστιν*<br>*ὁ υἱός μου ὁ ἀγαπητός,*<br>*ἐν ᾧ εὐδόκησα·*<br>*ἀκούετε αὐτοῦ.* | ***Mk9: 7b*** *......καὶ ἐγένετο φωνὴ*<br>*ἐκ τῆς νεφέλης,*<br>*Οὗτός ἐστιν*<br>*ὁ υἱός μου ὁ ἀγαπητός,*<br><br>*ἀκούετε αὐτοῦ.* | ***Lk9:35*** *καὶ φωνὴ ἐγένετο*<br>*ἐκ τῆς νεφέλης λέγουσα,*<br>*Οὗτός ἐστιν*<br>*ὁ υἱός μου ὁ ἐκλελεγμένος,*<br><br>*αὐτοῦ ἀκούετε.* |

## No. 6 *[6. 19].* The Genealogy of Jesus / イエスの系図

### Mt 1:1-17

**Mt1:1** Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ.

**Mt1:2** Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ,

**Mt1:3** Ἰούδας δὲ ἐγέννησεν τὸν Φάρες καὶ τὸν Ζάρα ἐκ τῆς Θαμάρ, Φάρες δὲ ἐγέννησεν τὸν Ἑσρώμ, Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ,

**Mt1:4** Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών,

**Mt1:5** Σαλμὼν δὲ ἐγέννησεν τὸν Βόες ἐκ τῆς Ῥαχάβ, Βόες δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί,

**Mt1:6** Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ τὸν βασιλέα. Δαυὶδ δὲ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου,

**Mt1:7** Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησεν τὸν Ἀσάφ,

**Mt1:8** Ἀσὰφ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν,

**Mt1:9** Ὀζίας δὲ ἐγέννησεν τὸν Ἰωαθάμ, Ἰωαθὰμ δὲ ἐγέννησεν τὸν Ἀχάζ, Ἀχὰζ δὲ ἐγέννησεν τὸν Ἑζεκίαν,

**Mt1:10** Ἑζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησεν τὸν Ἀμώς, Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν,

**Mt1:11** Ἰωσίας δὲ ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.

**Mt1:12** Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβαβέλ,

**Mt1:13** Ζοροβαβὲλ δὲ ἐγέννησεν τὸν

### Mk

### Lk 3:23-38

**Lk3:23** Καὶ αὐτὸς ἦν Ἰησοῦς ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα, ὢν υἱός, ὡς ἐνομίζετο, Ἰωσὴφ τοῦ Ἠλὶ

**Lk3:24** τοῦ Μαθθὰτ τοῦ Λευὶ τοῦ Μελχὶ τοῦ Ἰανναὶ τοῦ Ἰωσὴφ

**Lk3:25** τοῦ Ματταθίου τοῦ Ἀμὼς τοῦ Ναοὺμ τοῦ Ἑσλὶ τοῦ Ναγγαὶ

**Lk3:26** τοῦ Μάαθ τοῦ Ματταθίου τοῦ Σεμεῒν τοῦ Ἰωσὴχ τοῦ Ἰωδὰ

**Lk3:27** τοῦ Ἰωανὰν τοῦ Ῥησὰ τοῦ Ζοροβαβὲλ τοῦ Σαλαθιὴλ τοῦ Νηρὶ

**Lk3:28** τοῦ Μελχὶ τοῦ Ἀδδὶ τοῦ Κωσὰμ τοῦ Ἐλμαδὰμ τοῦ Ἤρ

**Lk3:29** τοῦ Ἰησοῦ τοῦ Ἐλιέζερ τοῦ Ἰωρὶμ τοῦ Μαθθὰτ τοῦ Λευὶ

**Lk3:30** τοῦ Συμεὼν τοῦ Ἰούδα τοῦ Ἰωσὴφ τοῦ Ἰωνὰμ τοῦ Ἐλιακὶμ

**Lk3:31** τοῦ Μελεὰ τοῦ Μεννὰ τοῦ Ματταθὰ τοῦ Ναθὰμ τοῦ Δαυὶδ

**Lk3:32** τοῦ Ἰεσσαὶ τοῦ Ἰωβὴδ τοῦ Βόος τοῦ Σαλὰ τοῦ Ναασσὼν

**Lk3:33** τοῦ Ἀμιναδὰβ τοῦ Ἀδμὶν τοῦ Ἀρνὶ τοῦ Ἑσρὼμ τοῦ Φάρες τοῦ Ἰούδα

**Lk3:34** τοῦ Ἰακὼβ τοῦ Ἰσαὰκ τοῦ Ἀβραὰμ τοῦ Θάρα τοῦ Ναχὼρ

**Lk3:35** τοῦ Σεροὺχ τοῦ Ῥαγαὺ τοῦ Φάλεκ τοῦ Ἔβερ τοῦ Σαλὰ

**Lk3:36** τοῦ Καϊνὰμ τοῦ Ἀρφαξὰδ τοῦ Σὴμ τοῦ Νῶε τοῦ Λάμεχ

**Lk3:37** τοῦ Μαθουσαλὰ τοῦ Ἑνὼχ τοῦ Ἰάρετ τοῦ Μαλελεὴλ τοῦ Καϊνὰμ

**Lk3:38** τοῦ Ἐνὼς τοῦ Σὴθ τοῦ Ἀδὰμ τοῦ θεοῦ.

| | | |
|---|---|---|
| Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακίμ, Ἐλιακὶμ δὲ ἐγέννησεν τὸν Ἀζώρ,<br>**Mt1:14** Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ δὲ ἐγέννησεν τὸν Ἀχίμ, Ἀχὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ,<br>**Mt1:15** Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν, Ματθὰν δὲ ἐγέννησεν τὸν Ἰακώβ,<br>**Mt1:16** Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός.<br>**Mt1:17** Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες. | | |

## No. 7 *[20].* The Temptation / 荒野の試み

| Mt 4:1-11 | Mk 1:12-13 | Lk 4:1-13 |
|---|---|---|
| **Mt4:1** Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.<br>**Mt4:2** καὶ νηστεύσας ἡμέρας τεσσεράκοντα καὶ νύκτας τεσσεράκοντα,<br><br>ὕστερον ἐπείνασεν.<br>**Mt4:3** Καὶ προσελθὼν ὁ πειράζων εἶπεν αὐτῷ,<br>Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.<br>**Mt4:4** ὁ δὲ ἀποκριθεὶς εἶπεν,<br><br>Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος,<br>ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. | **Mk1:12** Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον.<br>**Mk1:13** καὶ ἦν ἐν τῇ ἐρήμῳ τεσσεράκοντα ἡμέρας πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, | **Lk4:1** Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου καὶ ἤγετο ἐν τῷ πνεύματι ἐν τῇ ἐρήμῳ<br>**Lk4:2** ἡμέρας τεσσεράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου.<br>καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συντελεσθεισῶν αὐτῶν ἐπείνασεν.<br>**Lk4:3** Εἶπεν δὲ αὐτῷ ὁ διάβολος,<br><br>Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.<br>**Lk4:4** καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἰησοῦς,<br>Γέγραπται ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος.<br><br>---------- |

*A: According to Matthew's sequence after the 1st temptation*

| | | |
|---|---|---|
| Mt4:5 Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν | | Lk4:9 Ἤγαγεν δὲ αὐτὸν εἰς Ἰερουσαλὴμ |
| καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, | | καὶ ἔστησεν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ |
| Mt4:6 καὶ λέγει αὐτῷ, | | καὶ εἶπεν αὐτῷ, |
| Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω· | | Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· |
| γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ | | Lk4:10 γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ |
| | | τοῦ διαφυλάξαι σε |
| καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. | | Lk4:11 καὶ ὅτι Ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. |
| Mt4:7 ἔφη αὐτῷ ὁ Ἰησοῦς, | | Lk4:12 καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Εἴρηται, |
| Πάλιν γέγραπται, | | |
| Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. | | Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. |
| | | ---------- |
| Mt4:8 Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ | | Lk4:5 Καὶ ἀναγαγὼν αὐτὸν |
| δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν | | ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου |
| Mt4:9 καὶ εἶπεν αὐτῷ, | | Lk4:6 καὶ εἶπεν αὐτῷ ὁ διάβολος, |
| Ταῦτά σοι πάντα δώσω, | | Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν· |
| ἐὰν πεσὼν προσκυνήσῃς μοι. | | Lk4:7 σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιον ἐμοῦ, ἔσται σοῦ πᾶσα. |
| Mt4:10 τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, | | Lk4:8 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ, |
| Ὕπαγε, Σατανᾶ· | | |
| γέγραπται γάρ, | | Γέγραπται, |
| Κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις. | | Κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις. |
| ---------- | | ---------- |

*B: According to Luke's sequence after the 1st temptation*

| | | |
|---|---|---|
| Mt4:8 Πάλιν παραλαμβάνει αὐτὸν | | Lk4:5 Καὶ ἀναγαγὼν αὐτὸν |

ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ
δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας
τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν
Mt4:9 καὶ εἶπεν αὐτῷ,
Ταῦτά σοι πάντα δώσω,

ἐὰν πεσὼν προσκυνήσῃς μοι.

Mt4:10 τότε λέγει αὐτῷ
ὁ Ἰησοῦς,
Ὕπαγε, Σατανᾶ·
γέγραπται γάρ,
**Κύριον τὸν θεόν σου προσκυνήσεις**
**καὶ αὐτῷ** μόνῳ **λατρεύσεις**.

----------

Mt4:5 Τότε παραλαμβάνει αὐτὸν ὁ
διάβολος εἰς τὴν ἁγίαν πόλιν
καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον
τοῦ ἱεροῦ,
Mt4:6 καὶ λέγει αὐτῷ,
Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
κάτω·
γέγραπται γὰρ ὅτι **Τοῖς**
**ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ**

**καὶ ἐπὶ χειρῶν**
**ἀροῦσίν σε, μήποτε προσκόψῃς**
**πρὸς λίθον τὸν πόδα σου**.

Mt4:7 ἔφη αὐτῷ ὁ Ἰησοῦς,
Πάλιν γέγραπται,
**Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου**.

----------

Mt4:11 Τότε ἀφίησιν αὐτὸν
ὁ διάβολος,

καὶ ἰδοὺ ἄγγελοι προσῆλθον
καὶ διηκόνουν αὐτῷ.

καὶ οἱ ἄγγελοι
διηκόνουν αὐτῷ.

ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς
οἰκουμένης ἐν στιγμῇ χρόνου
Lk4:6 καὶ εἶπεν αὐτῷ ὁ διάβολος,
Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην
ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ
παραδέδοται καὶ ᾧ ἐὰν θέλω δίδωμι
αὐτήν·
Lk4:7 σὺ οὖν ἐὰν προσκυνήσῃς
ἐνώπιον ἐμοῦ, ἔσται σοῦ πᾶσα.
Lk4:8 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς
εἶπεν αὐτῷ,

Γέγραπται,
**Κύριον τὸν θεόν σου προσκυνήσεις**
**καὶ αὐτῷ** μόνῳ **λατρεύσεις**.

Lk4:9 Ἤγαγεν δὲ αὐτὸν εἰς
Ἰερουσαλὴμ
καὶ ἔστησεν ἐπὶ τὸ πτερύγιον
τοῦ ἱεροῦ
καὶ εἶπεν αὐτῷ,
Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν
ἐντεῦθεν κάτω·
Lk4:10 γέγραπται γὰρ ὅτι **Τοῖς**
**ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ**
**τοῦ διαφυλάξαι σε**
Lk4:11 καὶ ὅτι **Ἐπὶ χειρῶν**
**ἀροῦσίν σε, μήποτε προσκόψῃς**
**πρὸς λίθον τὸν πόδα σου**.
Lk4:12 καὶ ἀποκριθεὶς
εἶπεν αὐτῷ ὁ Ἰησοῦς
ὅτι Εἴρηται,
**Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου**.

Lk4:13 Καὶ συντελέσας πάντα
πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ᾽
αὐτοῦ ἄχρι καιροῦ.

## No. 8 *[30. 32]*. The Beginning of the Ministry in Galilee / ガリラヤ伝道開始

| Mt4:12-17 | Mk1:14-15 | Lk4:14-15, 16a |
| --- | --- | --- |
| **Mt4:12** Ἀκούσας δὲ ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν<br>εἰς τὴν Γαλιλαίαν. | **Mk1:14a** Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην ἦλθεν ὁ Ἰησοῦς<br>εἰς τὴν Γαλιλαίαν. | **Lk4:14** Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος<br>εἰς τὴν Γαλιλαίαν.<br>καὶ φήμη ἐξῆλθεν καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ.<br>**Lk4:15** καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων.<br>**Lk4:16a** Καὶ ἦλθεν εἰς Ναζαρά, οὗ ἦν τεθραμμένος…… |
| **Jh4:1** Ὡς οὖν ἔγνω ὁ Ἰησοῦς ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης **Jh4:2** καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν ἀλλ' οἱ μαθηταὶ αὐτοῦ **Jh4:3** ἀφῆκεν τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν πάλιν εἰς τὴν Γαλιλαίαν. | | |
| **Mt4:13** καὶ καταλιπὼν τὴν Ναζαρὰ ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλίμ˙<br>**Mt4:14** ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος,<br>**Mt4:15** Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλίμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν,<br>**Mt4:16** ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδεν μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς.<br>**Mt4:17** Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν<br>καὶ λέγειν,<br>Μετανοεῖτε˙<br>ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. | **Mk1:14b** κηρύσσων το εὐαγγέλιον τοῦ θεοῦ<br>**Mk1:15** καὶ λέγων ὅτι Πεπλήρωται ὁ καιρὸς<br>καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ˙<br>μετανοεῖτε<br>καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ. | |

# 2. Activities in Galilee

## No. 9 *[34. 41]*. The Call of the Disciples / 弟子召命

| Mt 4:18-22 | Mk 1:16-20 | Lk 5:1-11 |
|---|---|---|
| | | **Lk5:1** Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ καὶ ἀκούειν τὸν λόγον τοῦ θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ **Lk5:2** καὶ εἶδεν δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀπ' αὐτῶν ἀποβάντες ἔπλυνον τὰ δίκτυα. **Lk5:3** ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον, καθίσας δὲ ἐκ τοῦ πλοίου ἐδίδασκεν τοὺς ὄχλους. **Lk5:4** ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπεν πρὸς τὸν Σίμωνα, Ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. **Lk5:5** καὶ ἀποκριθεὶς Σίμων εἶπεν, Ἐπιστάτα, δι' ὅλης νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὰ δίκτυα. **Lk5:6** καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων πολύ, διερρήσσετο δὲ τὰ δίκτυα αὐτῶν. **Lk5:7** καὶ κατένευσαν τοῖς μετόχοις ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα ὥστε βυθίζεσθαι αὐτά. **Lk5:8** ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν τοῖς γόνασιν Ἰησοῦ λέγων, Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε. |
| **Mt4:18** Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο | **Mk1:16** Καὶ παράγων παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν | **Lk5:9** θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ |

**Jh1:38** στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς, Τί ζητεῖτε; οἱ δὲ εἶπαν αὐτῷ, Ῥαββί,...ποῦ μένεις; **Jh1:39** λέγει αὐτοῖς, Ἔρχεσθε καὶ ὄψεσθε. ἦλθαν οὖν καὶ εἶδαν ποῦ μένει καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην·

| | | |
|---|---|---|
| ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς. | Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν Σίμωνος ἀμφιβάλλοντας ἐν τῇ θαλάσσῃ· ἦσαν γὰρ ἁλιεῖς. | ἄγρᾳ τῶν ἰχθύων ὧν συνέλαβον, |
| | | **Lk5:10** ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. |
| **Mt4:19** καὶ λέγει αὐτοῖς, | **Mk1:17** καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, | καὶ εἶπεν πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, |
| Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. | Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. | Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. |
| **Mt4:20** οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. | **Mk1:18** καὶ εὐθὺς ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. | |
| **Mt4:21** Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, | **Mk1:19** Καὶ προβὰς ὀλίγον εἶδεν | ---------- |
| Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν | Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ αὐτοὺς ἐν τῷ πλοίῳ | ***Lk5:10*** ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. ---------- |
| καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. | καταρτίζοντας τὰ δίκτυα, **Mk1:20** καὶ εὐθὺς ἐκάλεσεν αὐτούς. | |
| **Mt4:22** οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ. | καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν ἀπῆλθον ὀπίσω αὐτοῦ. | **Lk5:11** καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν ἀφέντες πάντα ἠκολούθησαν αὐτῷ. |

## No. 10 *[35. 76]*. Teaching in the Synagogue at Capernaum / カファルナウム会堂での説教

| Mt 4:13; 7:28-29 | Mk 1:21-22 | Lk 4:31-32 |
|---|---|---|
| **Mt4:13** καὶ καταλιπὼν τὴν Ναζαρὰ | | ***Lk4;16a*** *Καὶ ἦλθεν εἰς Ναζαρά, οὗ ἦν τεθραμμένος……* |
| ἐλθὼν κατῴκησεν | | ---------- |
| | **Mk1:21** Καὶ εἰσπορεύονται | **Lk4:31** Καὶ κατῆλθεν |
| εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλίμ· | εἰς Καφαρναούμ· καὶ εὐθὺς τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγὴν ἐδίδασκεν. | εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας. καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν· |
| ---------- | | |
| **Mt7:28** Καὶ ἐγένετο ὅτε ἐτέλεσεν | **Mk1:22** καὶ | **Lk4:32** καὶ |

| | | |
|---|---|---|
| ὁ Ἰησοῦς τοὺς λόγους τούτους,<br>ἐξεπλήσσοντο οἱ ὄχλοι<br>ἐπὶ τῇ διδαχῇ αὐτοῦ·<br>**Mt7:29** ἦν γὰρ διδάσκων αὐτοὺς<br>ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς<br>οἱ γραμματεῖς αὐτῶν. | ἐξεπλήσσοντο<br>ἐπὶ τῇ διδαχῃ αὐτοῦ·<br>ἦν γὰρ διδάσκων αὐτοὺς<br>ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς<br>οἱ γραμματεῖς. | ἐξεπλήσσοντο<br>ἐπὶ τῇ διδαχῇ αὐτοῦ,<br>ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. |

**Jh2:12** Μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ [αὐτοῦ] καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.
**Jh7:46** ἀπεκρίθησαν οἱ ὑπηρέται, Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος.

## No. 11 *[36]*. The Healing of the Demoniac in the Synagogue / 会堂での悪霊祓い

| Mt | Mk 1:23-28 | Lk 4:33-37 |
|---|---|---|
| | **Mk1:23** καὶ εὐθὺς ἦν ἐν τῇ συναγωγῇ αὐτῶν<br>ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ<br>καὶ ἀνέκραξεν<br>**Mk1:24** λέγων, Τί ἡμῖν καὶ σοί,<br>Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς;<br>οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. | **Lk4:33** καὶ ἐν τῇ συναγωγῇ ἦν<br>ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου<br>καὶ ἀνέκραξεν φωνῇ μεγάλῃ,<br>**Lk4:34** Ἔα, τί ἡμῖν καὶ σοί,<br>Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς;<br>οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. |

**Jh6:69** καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ θεοῦ.

| Mt | Mk | Lk |
|---|---|---|
| | **Mk1:25** καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς<br>λέγων, Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ.<br>**Mk1:26** καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ<br>ἀκάθαρτον καὶ φωνῆσαν φωνῇ μεγάλῃ<br>ἐξῆλθεν ἐξ αὐτοῦ.<br>**Mk1:27** καὶ ἐθαμβήθησαν ἅπαντες<br>ὥστε συζητεῖν πρὸς ἑαυτοὺς λέγοντας,<br>Τί ἐστιν τοῦτο;<br>διδαχὴ καινὴ κατ' ἐξουσίαν· καὶ τοῖς πνεύμασι<br>τοῖς ἀκαθάρτοις ἐπιτάσσει,<br>καὶ ὑπακούουσιν αὐτῷ.<br>**Mk1:28** καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ εὐθὺς πανταχοῦ<br>εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας. | **Lk4:35** καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς<br>λέγων, Φιμώθητι καὶ ἔξελθε ἀπ' αὐτοῦ.<br>καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον<br><br>ἐξῆλθεν ἀπ' αὐτοῦ μηδὲν βλάψαν αὐτόν.<br>**Lk4:36** καὶ ἐγένετο θάμβος ἐπὶ πάντας<br>καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες,<br>Τίς ὁ λόγος οὗτος<br>ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει<br>τοῖς ἀκαθάρτοις πνεύμασιν<br>καὶ ἐξέρχονται;<br>**Lk4:37** καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ<br>εἰς πάντα τόπον τῆς περιχώρου. |

## No. 12 *[37. 87]*. The Healing of Peter's Mother-in-Law / シモンの姑の癒し

| Mt 8:14-15 | Mk 1:29-31 | Lk 4:38-39 |
|---|---|---|
| Mt8:14 Καὶ | Mk1:29 Καὶ εὐθὺς ἐκ τῆς | Lk4:38 Ἀναστὰς δὲ ἀπὸ τῆς |
| | συναγωγῆς ἐξελθόντες | συναγωγῆς |
| ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν | ἦλθον εἰς τὴν οἰκίαν | εἰσῆλθεν εἰς τὴν οἰκίαν |
| Πέτρου | Σίμωνος καὶ Ἀνδρέου | Σίμωνος. |
| | μετὰ Ἰακώβου καὶ Ἰωάννου. | |
| εἶδεν τὴν πενθερὰν αὐτοῦ | Mk1:30 ἡ δὲ πενθερὰ Σίμωνος | πενθερὰ δὲ τοῦ Σίμωνος ἦν |
| βεβλημένην καὶ πυρέσσουσαν· | κατέκειτο πυρέσσουσα, καὶ εὐθὺς | συνεχομένη πυρετῷ μεγάλῳ καὶ |
| | λέγουσιν αὐτῷ περὶ αὐτῆς. | ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. |
| Mt8:15 καὶ | Mk1:31 καὶ προσελθὼν ἤγειρεν | Lk4:39 καὶ ἐπιστὰς ἐπάνω αὐτῆς |
| ἥψατο τῆς χειρὸς αὐτῆς, | αὐτὴν κρατήσας τῆς χειρός· | ἐπετίμησεν τῷ πυρετῷ |
| καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ | καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, | καὶ ἀφῆκεν αὐτήν· |
| ἠγέρθη | | παραχρῆμα δὲ ἀναστᾶσα |
| καὶ διηκόνει αὐτῷ. | καὶ διηκόνει αὐτοῖς. | διηκόνει αὐτοῖς. |

## No. 13 *[38. 88]*. The Sick Healed at Evening / 夕辺の癒し

| Mt 8:16-17 | Mk 1:32-34 | Lk 4:40-41 |
|---|---|---|
| Mt8:16 Ὀψίας δὲ γενομένης | Mk1:32 Ὀψίας δὲ γενομένης, ὅτε | Lk4:40 Δύνοντος δὲ τοῦ ἡλίου |
| προσήνεγκαν αὐτῷ | ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν | ἅπαντες ὅσοι εἶχον ἀσθενοῦντας |
| | πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς | νόσοις ποικίλαις ἤγαγον αὐτοὺς |
| δαιμονιζομένους πολλούς | δαιμονιζομένους· | πρὸς αὐτόν· |
| | Mk1:33 καὶ ἦν ὅλη ἡ πόλις | |
| | ἐπισυνηγμένη πρὸς τὴν θύραν. | |
| καὶ ἐξέβαλεν τὰ πνεύματα λόγῳ | | ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας |
| καὶ πάντας τοὺς κακῶς ἔχοντας | | ἐπιτιθεὶς ἐθεράπευεν αὐτούς. |
| ἐθεράπευσεν, | Mk1:34 καὶ ἐθεράπευσεν πολλοὺς | |
| | κακῶς ἔχοντας ποικίλαις νόσοις | |
| | καὶ δαιμόνια πολλὰ ἐξέβαλεν | Lk4:41 ἐξήρχετο δὲ καὶ δαιμόνια |
| | | ἀπὸ πολλῶν κρ[αυγ]άζοντα καὶ |
| | | λέγοντα ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. |
| | καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια, | καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, |
| | ὅτι ᾔδεισαν αὐτόν. | ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν |

| | | |
|---|---|---|
| **Mt8:17** ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος, **Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβεν καὶ τὰς νόσους ἐβάστασεν.** | | εἶναι. |

## No. 14 *[39].* Jesus Departs for His Mission / 孤独から宣教へ

| Mt | Mk 1:35-38 | Lk 4:42-43 |
|---|---|---|
| | **Mk1:35** Καὶ πρωῒ ἔννυχα λίαν ἀναστὰς ἐξῆλθεν καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον κἀκεῖ προσηύχετο.<br>**Mk1:36** καὶ κατεδίωξεν αὐτὸν Σίμων καὶ οἱ μετ' αὐτοῦ,<br>**Mk1:37** καὶ εὗρον αὐτὸν καὶ λέγουσιν αὐτῷ ὅτι Πάντες ζητοῦσίν σε.<br>**Mk1:38** καὶ λέγει αὐτοῖς, Ἄγωμεν ἀλλαχοῦ εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα καὶ ἐκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξῆλθον.<br>----------<br><br>***Mk1:45*** *ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ' ἔξω ἐπ' ἐρήμοις τόποις ἦν· καὶ ἤρχοντο πρὸς αὐτὸν πάντοθεν.* | **Lk4:42** Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον· καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτόν καὶ ἦλθον ἕως αὐτοῦ καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν.<br><br>**Lk4:43** ὁ δὲ εἶπεν πρὸς αὐτοὺς ὅτι Καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ, ὅτι ἐπὶ τοῦτο ἀπεστάλην.<br>----------<br><br>***Lk5:16*** *αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.* |

## No. 15 *[40].* Preaching Tour in Galilee / ガリラヤ巡回

| Mt 4:23 | Mk 1:39 | Lk 4:44 |
|---|---|---|
| **Mt4:23** Καὶ περιῆγεν ἐν ὅλῃ τῇ Γαλιλαίᾳ διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ | **Mk1:39** καὶ ἦλθεν κηρύσσων εἰς τὰς συναγωγὰς αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν καὶ τὰ δαιμόνια ἐκβάλλων. | **Lk4:44** καὶ ἦν κηρύσσων εἰς τὰς συναγωγὰς τῆς Ἰουδαίας. |

| | | |
|---|---|---|
| λαῷ.<br>----------<br><br>***Mt9:35*** *Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.* | ----------<br><br>***Mk6:6*** *καὶ ἐθαύμαζεν διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων.* | |

## No. 16 *[42. 84]*. The Healing of the Leper / らい病者の癒し

| Mt 8:1-4 | Mk 1:40-45 | Lk 5:12-16 |
|---|---|---|
| Mt8:1 Καταβάντος δὲ αὐτοῦ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. | | Lk5:12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων |
| Mt8:2 καὶ ἰδοὺ λεπρὸς προσελθὼν προσεκύνει αὐτῷ<br>λέγων,<br>Κύριε, ἐὰν θέλῃς<br>δύνασαί με καθαρίσαι. | Mk1:40 Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν [καὶ γονυπετῶν] καὶ λέγων αὐτῷ ὅτι<br>Ἐὰν θέλῃς<br>δύνασαί με καθαρίσαι. | καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας· ἰδὼν δὲ τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων,<br>Κύριε, ἐὰν θέλῃς<br>δύνασαί με καθαρίσαι. |
| Mt8:3 καὶ<br>ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ<br>λέγων,<br>Θέλω, καθαρίσθητι·<br>καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ<br>ἡ λέπρα. | Mk1:41 καὶ σπλαγχνισθεὶς<br>ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἥψατο<br>καὶ λέγει αὐτῷ,<br>Θέλω, καθαρίσθητι·<br>Mk1:42 καὶ εὐθὺς<br>ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα,<br>καὶ ἐκαθαρίσθη. | Lk5:13 καὶ<br>ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ<br>λέγων,<br>Θέλω, καθαρίσθητι·<br>καὶ εὐθέως<br>ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ. |
| Mt8:4 καὶ<br><br>λέγει αὐτῷ ὁ Ἰησοῦς,<br>Ὅρα μηδενὶ εἴπῃς,<br>ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον<br>τῷ ἱερεῖ καὶ προσένεγκον<br>τὸ δῶρον ὃ προσέταξεν<br>Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς. | Mk1:43 καὶ ἐμβριμησάμενος αὐτῷ εὐθὺς ἐξέβαλεν αὐτόν<br>Mk1:44 καὶ λέγει αὐτῷ,<br>Ὅρα μηδενὶ μηδὲν εἴπῃς,<br>ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον<br>τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ<br>καθαρισμοῦ σου ἃ προσέταξεν<br>Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς. | Lk5:14 καὶ αὐτὸς<br><br>παρήγγειλεν αὐτῷ<br>μηδενὶ εἰπεῖν,<br>ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν<br>τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ<br>καθαρισμοῦ σου καθὼς προσέταξεν<br>Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς. |
| | Mk1:45 ὁ δὲ ἐξελθὼν ἤρξατο | Lk5:15 διήρχετο δὲ μᾶλλον ὁ λόγος |

| | | |
|---|---|---|
| | κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν,<br>ἀλλ’ ἔξω ἐπ’ ἐρήμοις τόποις ἦν˙ καὶ ἤρχοντο πρὸς αὐτὸν πάντοθεν. | περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν˙<br>**Lk5:16** αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος. |

## No. 17 *[43. 92]*. The Healing of the Paralytic / 中風患者の癒し

| Mt 9:1-8 | Mk 2:1-12 | Lk 5:17-26 |
|---|---|---|
| **Mt9:1** Καὶ ἐμβὰς εἰς πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. | **Mk2:1** Καὶ εἰσελθὼν πάλιν εἰς Καφαρναοὺμ δι’ ἡμερῶν ἠκούσθη ὅτι ἐν οἴκῳ ἐστίν.<br>**Mk2:2** καὶ συνήχθησαν πολλοὶ ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. | **Lk5:17** Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ˙ καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτόν. |
| **Mt9:2** καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. | **Mk2:3** καὶ ἔρχονται φέροντες πρὸς αὐτὸν παραλυτικὸν αἰρόμενον ὑπὸ τεσσάρων. | **Lk5:18** καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι [αὐτὸν] ἐνώπιον αὐτοῦ. |
| | **Mk2:4** καὶ μὴ δυνάμενοι προσενέγκαι αὐτῷ διὰ τὸν ὄχλον ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον ὅπου ὁ παραλυτικὸς κατέκειτο. | **Lk5:19** καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. |
| καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπεν τῷ παραλυτικῷ, Θάρσει, τέκνον, ἀφίενταί σου αἱ ἁμαρτίαι. | **Mk2:5** καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ, Τέκνον, ἀφίενταί σου αἱ ἁμαρτίαι. | **Lk5:20** καὶ ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν, Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. |
| **Mt9:3** καὶ ἰδού τινες τῶν γραμματέων εἶπαν ἐν ἑαυτοῖς, | **Mk2:6** ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν, | **Lk5:21** καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι λέγοντες, |

| | | |
|---|---|---|
| Οὗτος | Mk2:7 Τί οὗτος οὕτως λαλεῖ; | Τίς ἐστιν οὗτος ὃς λαλεῖ |
| βλασφημεῖ. | βλασφημεῖ˙ | βλασφημίας; |
| | τίς δύναται ἀφιέναι ἁμαρτίας | τίς δύναται ἁμαρτίας ἀφεῖναι |
| | εἰ μὴ εἷς ὁ θεός; | εἰ μὴ μόνος ὁ θεός; |
| Mt9:4 καὶ ἰδὼν ὁ Ἰησοῦς | Mk2:8 καὶ εὐθὺς ἐπιγνοὺς ὁ Ἰησοῦς | Lk5:22 ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς |
| τὰς ἐνθυμήσεις αὐτῶν | τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως | τοὺς διαλογισμοὺς αὐτῶν |
| | διαλογίζονται ἐν ἑαυτοῖς | ἀποκριθεὶς |
| εἶπεν, | λέγει αὐτοῖς, | εἶπεν πρὸς αὐτούς, |
| Ἱνατί ἐνθυμεῖσθε πονηρὰ | Τί ταῦτα διαλογίζεσθε | Τί διαλογίζεσθε |
| ἐν ταῖς καρδίαις ὑμῶν; | ἐν ταῖς καρδίαις ὑμῶν; | ἐν ταῖς καρδίαις ὑμῶν; |
| Mt9:5 τί γάρ ἐστιν εὐκοπώτερον, | Mk2:9 τί ἐστιν εὐκοπώτερον, | Lk5:23 τί ἐστιν εὐκοπώτερον, |
| εἰπεῖν, | εἰπεῖν τῷ παραλυτικῷ, | εἰπεῖν, |
| Ἀφίενταί σου αἱ ἁμαρτίαι, | Ἀφίενταί σου αἱ ἁμαρτίαι, | Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, |
| ἢ εἰπεῖν, | ἢ εἰπεῖν, | ἢ εἰπεῖν, |
| Ἔγειρε | Ἔγειρε | Ἔγειρε |
| | καὶ ἆρον τὸν κράβαττόν σου | |
| καὶ περιπάτει; | καὶ περιπάτει; | καὶ περιπάτει; |
| Mt9:6 ἵνα δὲ εἰδῆτε ὅτι | Mk2:10 ἵνα δὲ εἰδῆτε ὅτι | Lk5:24 ἵνα δὲ εἰδῆτε ὅτι |
| ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου | ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου | ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει |
| ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας | ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς | ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας |
| τότε λέγει τῷ παραλυτικῷ, | λέγει τῷ παραλυτικῷ, | εἶπεν τῷ παραλελυμένῳ, |
| | Mk2:11 Σοὶ λέγω, | Σοὶ λέγω, |
| Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην | ἔγειρε ἆρον τὸν κράβαττόν σου | ἔγειρε καὶ ἄρας τὸ κλινίδιόν σου |
| καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. | καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. | πορεύου εἰς τὸν οἶκόν σου. |

Jh5:8 λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἔγειρε ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. Jh5:9a καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος καὶ ἦρεν τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει....

| | | |
|---|---|---|
| Mt9:7 καὶ ἐγερθεὶς | Mk2:12 καὶ ἠγέρθη | Lk5:25 καὶ παραχρῆμα ἀναστὰς |
| | καὶ εὐθὺς ἄρας τὸν κράβαττον | ἐνώπιον αὐτῶν, ἄρας ἐφ’ ὃ |
| | ἐξῆλθεν ἔμπροσθεν πάντων, | κατέκειτο, |
| ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. | | ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ |
| | | δοξάζων τὸν θεόν. |
| Mt9:8 ἰδόντες δὲ οἱ ὄχλοι | ὥστε ἐξίστασθαι πάντας | Lk5:26 καὶ ἔκστασις ἔλαβεν |
| ἐφοβήθησαν καὶ ἐδόξασαν τὸν θεὸν | καὶ δοξάζειν τὸν θεὸν | ἅπαντας καὶ ἐδόξαζον τὸν θεόν |
| τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς | | καὶ ἐπλήσθησαν φόβου |
| ἀνθρώποις. | | |
| | λέγοντας | λέγοντες |
| | ὅτι Οὕτως οὐδέποτε εἴδομεν. | ὅτι Εἴδομεν παράδοξα σήμερον. |

## No. 18 *[44a. 126a].* The Call of a Tax Collector / 徴税人の召命

| Mt 9:9 | Mk 2:13-14 | Lk 5:27-28 |
|---|---|---|
| | Mk2:13 Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. | Lk5:27 Καὶ μετὰ ταῦτα ἐξῆλθεν |
| Mt9:9 Καὶ παράγων ὁ Ἰησοῦς | Mk2:14 καὶ παράγων | καὶ |
| ἐκεῖθεν εἶδεν ἄνθρωπον | εἶδεν Λευὶν τὸν τοῦ Ἁλφαίου | ἐθεάσατο τελώνην ὀνόματι Λευὶν |
| καθήμενον ἐπὶ τὸ τελώνιον, | καθήμενον ἐπὶ τὸ τελώνιον, | καθήμενον ἐπὶ τὸ τελώνιον, |
| Μαθθαῖον λεγόμενον, | | |
| καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. | καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. | καὶ εἶπεν αὐτῷ, Ἀκολούθει μοι. |
| καὶ | καὶ | Lk5:28 καὶ καταλιπὼν πάντα |
| ἀναστὰς ἠκολούθησεν αὐτῷ. | ἀναστὰς ἠκολούθησεν αὐτῷ. | ἀναστὰς ἠκολούθει αὐτῷ. |

## No. 19 *[44b. 126b].* Meal with Sinners and Tax Collectors / 罪人や徴税人たちとの食事

| Mt 9:10-13 | Mk 2:15-17 | Lk 5:29-32 |
|---|---|---|
| Mt9:10 Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου | Mk2:15 Καὶ γίνεται κατακεῖσθαι αὐτὸν | Lk5:29 Καὶ ἐποίησεν δοχὴν μεγάλην Λευὶς αὐτῷ |
| ἐν τῇ οἰκίᾳ, | ἐν τῇ οἰκίᾳ αὐτοῦ, | ἐν τῇ οἰκίᾳ αὐτοῦ, |
| καὶ ἰδοὺ | καὶ | καὶ ἦν |
| πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ | πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ | ὄχλος πολὺς τελωνῶν καὶ ἄλλων |
| ἐλθόντες συνανέκειντο | συνανέκειντο | οἳ ἦσαν μετ’ αὐτῶν κατακείμενοι. |
| τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. | τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· | |
| | ἦσαν γὰρ πολλοὶ καὶ ἠκολούθουν αὐτῷ. | |
| Mt9:11 καὶ ἰδόντες | Mk2:16 καὶ οἱ γραμματεῖς | Lk5:30 καὶ ἐγόγγυζον |
| οἱ Φαρισαῖοι | τῶν Φαρισαίων ἰδόντες ὅτι ἐσθίει | οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς |
| | μετὰ τῶν ἁμαρτωλῶν καὶ τελωνῶν | αὐτῶν |
| ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ, | ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ, | πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες, |
| Διὰ τί μετὰ τῶν τελωνῶν καὶ | Ὅτι μετὰ τῶν τελωνῶν καὶ | Διὰ τί μετὰ τῶν τελωνῶν καὶ |
| ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; | ἁμαρτωλῶν ἐσθίει; | ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; |
| Mt9:12 ὁ δὲ ἀκούσας | Mk2:17 καὶ ἀκούσας | Lk5:31 καὶ ἀποκριθεὶς |
| εἶπεν, | ὁ Ἰησοῦς λέγει αὐτοῖς [ὅτι] | ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς, |
| Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες | Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες | Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες |
| ἰατροῦ ἀλλ’ οἱ κακῶς ἔχοντες. | ἰατροῦ ἀλλ’ οἱ κακῶς ἔχοντες· | ἰατροῦ ἀλλὰ οἱ κακῶς ἔχοντες· |

| | | |
|---|---|---|
| **Mt9:13** πορευθέντες δὲ μάθετε τί ἐστιν, Ἔλεος θέλω καὶ οὐ θυσίαν·<br>οὐ γὰρ ἦλθον καλέσαι<br>δικαίους ἀλλὰ ἁμαρτωλούς. | οὐκ ἦλθον καλέσαι<br>δικαίους ἀλλὰ ἁμαρτωλούς. | **Lk5:32** οὐκ ἐλήλυθα καλέσαι<br>δικαίους ἀλλὰ ἁμαρτωλοὺς<br>εἰς μετάνοιαν. |

## No. 20 *[45a. 94a]*. The Question about Fasting / 断食論争

| Mt 9:14-15 | Mk 2:18-20 | Lk 5:33-35 |
|---|---|---|
| **Mt9:14** Τότε προσέρχονται αὐτῷ<br>οἱ μαθηταὶ Ἰωάννου<br>λέγοντες, | **Mk2:18** Καὶ ἦσαν<br>οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ<br>Φαρισαῖοι νηστεύοντες.<br>καὶ ἔρχονται<br>καὶ λέγουσιν αὐτῷ, | **Lk5:33** Οἱ δὲ εἶπαν πρὸς αὐτόν, |
| Διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι<br>νηστεύομεν [πολλά], | Διὰ τί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ<br>μαθηταὶ τῶν Φαρισαίων<br>νηστεύουσιν, | Οἱ μαθηταὶ Ἰωάννου νηστεύουσιν<br>πυκνὰ καὶ δεήσεις ποιοῦνται ὁμοίως<br>καὶ οἱ τῶν Φαρισαίων, |
| οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν; | οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσιν; | οἱ δὲ σοὶ ἐσθίουσιν καὶ πίνουσιν. |
| **Mt9:15** καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, | **Mk2:19** καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, | **Lk5:34** ὁ δὲ Ἰησοῦς εἶπεν πρὸς<br>αὐτούς, |
| Μὴ δύνανται οἱ υἱοὶ<br>τοῦ νυμφῶνος πενθεῖν<br>ἐφ᾽ ὅσον μετ᾽ αὐτῶν ἐστιν ὁ νυμφίος; | Μὴ δύνανται οἱ υἱοὶ<br>τοῦ νυμφῶνος<br>ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν<br>νηστεύειν;<br>ὅσον χρόνον ἔχουσιν τὸν νυμφίον<br>μετ᾽ αὐτῶν οὐ δύνανται νηστεύειν. | Μὴ δύνασθε τοὺς υἱοὺς<br>τοῦ νυμφῶνος<br>ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν<br>ποιῆσαι νηστεῦσαι; |
| ἐλεύσονται δὲ ἡμέραι<br>ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος,<br>καὶ τότε νηστεύσουσιν. | **Mk2:20** ἐλεύσονται δὲ ἡμέραι<br>ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος,<br>καὶ τότε νηστεύσουσιν ἐν ἐκείνῃ<br>τῇ ἡμέρᾳ. | **Lk5:35** ἐλεύσονται δὲ ἡμέραι, καὶ<br>ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος,<br>τότε νηστεύσουσιν ἐν ἐκείναις<br>ταῖς ἡμέραις. |

**Th104** (1) Εἶπαν τῷ ᾿Ιησοῦ· δεῦρο προσευχώμεθα σήμερον καὶ νεηστεύωμεν. (2) εἶπεν ᾿Ιησοῦς· τίνα γὰρ ἁμαρτίαν ἐποίησα ἢ ἐν τίνι ἐνικήθην; (3) ἀλλ᾽ ὅταν ὁ νυμφίος ἐξέλθῃ ἐκ τοῦ νυμφῶνος, τότε νηστευέτωσαν καὶ προσευχέσθωσαν.

## No. 21 *[45b. 94b].* Unshrunk Cloth and New Wine / 新しき布と新しき酒

| Mt 9:16-17 | Mk 2:21-22 | Lk 5:36-39 |
|---|---|---|
| | | Lk5:36 Ἔλεγεν δὲ καὶ |
| Mt9:16 οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα | Mk2:21 οὐδεὶς | παραβολὴν πρὸς αὐτοὺς ὅτι Οὐδεὶς |
| ῥάκους ἀγνάφου | ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιράπτει | ἐπίβλημα ἀπὸ ἱματίου καινοῦ |
| | | σχίσας ἐπιβάλλει |
| ἐπὶ ἱματίῳ παλαιῷ· | ἐπὶ ἱμάτιον παλαιόν· | ἐπὶ ἱμάτιον παλαιόν· |
| αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ | εἰ δὲ μή, αἴρει τὸ πλήρωμα | εἰ δὲ μή γε, καὶ τὸ καινὸν σχίσει |
| τοῦ ἱματίου | ἀπ᾽ αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ | καὶ τῷ παλαιῷ οὐ συμφωνήσει τὸ |
| | | ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ. |
| καὶ χεῖρον σχίσμα γίνεται. | καὶ χεῖρον σχίσμα γίνεται. | |
| Mt9:17 οὐδὲ βάλλουσιν | Mk2:22 καὶ οὐδεὶς βάλλει | Lk5:37 καὶ οὐδεὶς βάλλει |
| οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· | οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· | οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· |
| εἰ δὲ μή γε, ῥήγνυνται | εἰ δὲ μή, ῥήξει ὁ οἶνος | εἰ δὲ μή γε, ῥήξει ὁ οἶνος ὁ νέος |
| οἱ ἀσκοί | τοὺς ἀσκούς | τοὺς ἀσκούς |
| καὶ ὁ οἶνος ἐκχεῖται | καὶ ὁ οἶνος ἀπόλλυται | καὶ αὐτὸς ἐκχυθήσεται |
| καὶ οἱ ἀσκοὶ ἀπόλλυνται· | καὶ οἱ ἀσκοί· | καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· |
| ἀλλὰ βάλλουσιν | ἀλλὰ | Lk5:38 ἀλλὰ |
| οἶνον νέον εἰς ἀσκοὺς καινούς, | οἶνον νέον εἰς ἀσκοὺς καινούς. | οἶνον νέον εἰς ἀσκοὺς καινοὺς |
| καὶ ἀμφότεροι συντηροῦνται. | | βλητέον. |
| | | Lk5:39 [καὶ] οὐδεὶς πιὼν |
| | | παλαιὸν θέλει νέον· λέγει γάρ, |
| | | Ὁ παλαιὸς χρηστός ἐστιν. |

Th47 (3) οὐ πίνει ἄνθρωπος οἶνον παλαιὸν καὶ εὐθέως ἐπιθυμεῖ πιεῖν οἶνον νέον. (4) καὶ οὐ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, ἵνα μὴ ῥαγῶσιν, οὐδὲ βάλλουσιν οἶνον παλαιὸν εἰς ἀσκὸν νέον, ἵνα μὴ ἀπολέσῃ αὐτόν. (5) οὐκ ῥάπτουσιν ἐπίβλημα παλαιὸν ἐπὶ ἱμάτιον καινόν, ἐπεὶ σχίσμα γενήσεται.

## No. 22 *[46. 111].* Plucking Grain on the Sabbath / 安息日と麦畑

| Mt 12:1-8 | Mk 2:23-28 | Lk 6:1-5 |
|---|---|---|
| Mt12:1 Ἐν ἐκείνῳ τῷ καιρῷ | Mk2:23 Καὶ ἐγένετο αὐτὸν | Lk6:1 Ἐγένετο δὲ |
| ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν | ἐν τοῖς σάββασιν παραπορεύεσθαι | ἐν σαββάτῳ διαπορεύεσθαι αὐτὸν |
| διὰ τῶν σπορίμων· | διὰ τῶν σπορίμων, | διὰ σπορίμων, |
| οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν | καὶ οἱ μαθηταὶ αὐτοῦ | καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ |
| καὶ ἤρξαντο τίλλειν | ἤρξαντο ὁδὸν ποιεῖν τίλλοντες | καὶ ἤσθιον |
| στάχυας καὶ ἐσθίειν. | τοὺς στάχυας. | τοὺς στάχυας ψώχοντες ταῖς χερσίν. |

| | | |
|---|---|---|
| Mt12:2 οἱ δὲ Φαρισαῖοι<br>ἰδόντες<br>εἶπαν αὐτῷ,<br>Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν<br>ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ. | Mk2:24 καὶ οἱ Φαρισαῖοι<br><br>ἔλεγον αὐτῷ,<br>Ἴδε τί ποιοῦσιν τοῖς σάββασιν<br>ὃ οὐκ ἔξεστιν; | Lk6:2 τινὲς δὲ τῶν Φαρισαίων<br><br>εἶπαν,<br>Τί ποιεῖτε ὃ οὐκ ἔξεστιν<br>τοῖς σάββασιν; |

Jh5:10 ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ, Σάββατόν ἐστιν, καὶ οὐκ ἔξεστίν σοι ἆραι τὸν κράβαττόν σου.

| | | |
|---|---|---|
| Mt12:3 ὁ δὲ εἶπεν αὐτοῖς,<br><br>Οὐκ ἀνέγνωτε τί ἐποίησεν<br>Δαυὶδ ὅτε<br>ἐπείνασεν<br>καὶ οἱ μετ' αὐτοῦ,<br>Mt12:4 πῶς εἰσῆλθεν εἰς τὸν<br>οἶκον τοῦ θεοῦ<br>καὶ τοὺς ἄρτους τῆς<br>προθέσεως ἔφαγον,<br><br>ὃ οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐδὲ<br>τοῖς μετ' αὐτοῦ<br>εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις; | Mk2:25 καὶ λέγει αὐτοῖς,<br><br>Οὐδέποτε ἀνέγνωτε τί ἐποίησεν<br>Δαυὶδ ὅτε χρείαν ἔσχεν καὶ<br>ἐπείνασεν αὐτὸς<br>και οἱ μετ' αὐτοῦ,<br>Mk2:26 πῶς εἰσῆλθεν εἰς τὸν<br>οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιαθὰρ<br>ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς<br>προθέσεως ἔφαγεν,<br><br>οὓς οὐκ ἔξεστιν φαγεῖν<br><br>εἰ μὴ τοὺς ἱερεῖς,<br>καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν; | Lk6:3 καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς<br>εἶπεν ὁ Ἰησοῦς,<br>Οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησεν<br>Δαυὶδ ὅτε<br>ἐπείνασεν αὐτὸς<br>καὶ οἱ μετ' αὐτοῦ [ὄντες],<br>Lk6:4 [ὡς] εἰσῆλθεν εἰς τὸν<br>οἶκον τοῦ θεου<br>καὶ τοὺς ἄρτους τῆς<br>προθέσεως λαβὼν ἔφαγεν<br>καὶ ἔδωκεν τοῖς μετ' αὐτοῦ,<br>οὓς οὐκ ἔξεστιν φαγεῖν<br><br>εἰ μὴ μόνους τοὺς ἱερεῖς; |
| Mt12:5 ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσιν καὶ ἀναίτιοί εἰσιν;<br>Mt12:6 λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε.<br>Mt12:7 εἰ δὲ ἐγνώκειτε τί ἐστιν,<br>**Ἔλεος θέλω καὶ οὐ θυσίαν,**<br>οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. | | |
| | Mk2:27 καὶ ἔλεγεν αὐτοῖς,<br>Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο καὶ οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· | Lk6:5 καὶ ἔλεγεν αὐτοῖς, |
| Mt12:8 κύριος γάρ ἐστιν<br>τοῦ σαββάτου<br>ὁ υἱὸς τοῦ ἀνθρώπου. | Mk2:28 ὥστε κύριός ἐστιν<br><br>ὁ υἱὸς τοῦ ἀνθρώπου<br>καὶ τοῦ σαββάτου. | Κύριός ἐστιν<br>τοῦ σαββάτου<br>ὁ υἱὸς τοῦ ἀνθρώπου. |

## No. 23 *[47. 112]*. The Man with the Withered Hand / 手の萎えた男の癒し

| Mt 12:9-14 | Mk 3:1-6 | Lk 6:6-11 |
|---|---|---|
| **Mt12:9** Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν· | **Mk3:1** Καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγήν. | **Lk6:6** Ἐγένετο δὲ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν. |
| **Mt12:10** καὶ ἰδοὺ ἄνθρωπος χεῖρα ἔχων ξηράν. | καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. | καὶ ἦν ἄνθρωπος ἐκεῖ καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. |
| καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες, | **Mk3:2** καὶ παρετήρουν αὐτὸν | **Lk6:7** παρετηροῦντο δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι |
| Εἰ ἔξεστιν τοῖς σάββασιν θεραπεῦσαι; | εἰ τοῖς σάββασιν θεραπεύσει αὐτόν, | εἰ ἐν τῷ σαββάτῳ θεραπεύει, |
| ἵνα κατηγορήσωσιν αὐτοῦ. | ἵνα κατηγορήσωσιν αὐτοῦ. | ἵνα εὕρωσιν κατηγορεῖν αὐτοῦ. |
| | **Mk3:3** καὶ λέγει τῷ ἀνθρώπῳ τῷ τὴν ξηρὰν χεῖρα ἔχοντι, Ἔγειρε εἰς τὸ μέσον. | **Lk6:8** αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, εἶπεν δὲ τῷ ἀνδρὶ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, Ἔγειρε καὶ στῆθι εἰς τὸ μέσον· καὶ ἀναστὰς ἔστη. |
| **Mt12:11** ὁ δὲ εἶπεν αὐτοῖς, Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἕν καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; **Mt12:12** πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου. | **Mk3:4** καὶ λέγει αὐτοῖς, | **Lk6:9** εἶπεν δὲ ὁ Ἰησοῦς πρὸς αὐτούς, Ἐπερωτῶ ὑμᾶς |
| ὥστε ἔξεστιν τοῖς σάββασιν καλῶς ποιεῖν. | Ἔξεστιν τοῖς σάββασιν ἀγαθὸν ποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. | εἰ ἔξεστιν τῷ σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀπολέσαι; |
| | **Mk3:5** καὶ περιβλεψάμενος αὐτοὺς μετ᾽ ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν | **Lk6:10** καὶ περιβλεψάμενος πάντας αὐτοὺς |
| **Mt12:13** τότε λέγει τῷ ἀνθρώπῳ, Ἔκτεινόν σου τὴν χεῖρα. καὶ ἐξέτεινεν καὶ ἀπεκατεστάθη | λέγει τῷ ἀνθρώπῳ, Ἔκτεινον τὴν χεῖρα. καὶ ἐξέτεινεν καὶ ἀπεκατεστάθη | εἶπεν αὐτῷ, Ἔκτεινον τὴν χεῖρά σου. ὁ δὲ ἐποίησεν, καὶ ἀπεκατεστάθη |

| | | |
|---|---|---|
| ὑγιὴς ὡς ἡ ἄλλη. | ἡ χεὶρ αὐτοῦ. | ἡ χεὶρ αὐτοῦ. |
| **Mt12:14** ἐξελθόντες δὲ | **Mk3:6** καὶ ἐξελθόντες | **Lk6:11** αὐτοὶ δὲ ἐπλήσθησαν |
| οἱ Φαρισαῖοι | οἱ Φαρισαῖοι εὐθὺς μετὰ τῶν | ἀνοίας |
| συμβούλιον ἔλαβον | Ἡρῳδιανῶν συμβούλιον ἐδίδουν | καὶ διελάλουν πρὸς ἀλλήλους τί ἂν |
| κατ᾽ αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν. | κατ᾽ αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν. | ποιήσαιεν τῷ Ἰησοῦ. |

## No. 24 *[38. 48. 50a. 77. 113].* Jesus Heals Multitudes by the Sea / 海辺の群衆の癒し

| Mt 4:24-25; 12:15-16 | Mk 3:7-12 | Lk 6:17-19; 4:41 |
|---|---|---|
| **Mt4:24** καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν˙ καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους [καὶ] δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν* αὐτούς. | *Cf. ἐθεράπευσεν in Mt12:24/Mk3:10. | |
| | **Mk3:7** Καὶ ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνεχώρησεν πρὸς τὴν θάλασσαν, | **Lk6:17** Καὶ καταβὰς μετ᾽ αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ, |
| **Mt4:25** καὶ ἠκολούθησαν αὐτῷ | καὶ πολὺ πλῆθος | καὶ ὄχλος πολὺς μαθητῶν αὐτοῦ, |
| ὄχλοι πολλοὶ | | καὶ πλῆθος πολὺ τοῦ λαου |
| ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως | ἀπὸ τῆς Γαλιλαίας [ἠκολούθησεν]˙ | |
| καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας | καὶ ἀπὸ τῆς Ἰουδαίας | ἀπὸ πάσης τῆς Ἰουδαίας |
| | **Mk3:8** καὶ ἀπὸ Ἱεροσολύμων | καὶ Ἰερουσαλὴμ |
| | καὶ ἀπὸ τῆς Ἰδουμαίας | |
| καὶ πέραν τοῦ Ἰορδάνου. | καὶ πέραν τοῦ Ἰορδάνου | |
| | καὶ περὶ Τύρον καὶ Σιδῶνα, | καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, |
| ---------- | πλῆθος πολύ ἀκούοντες ὅσα ἐποίει | **Lk6:18** οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ |
| | ἦλθον πρὸς αὐτόν. | ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν˙ |
| **Mt12:15** Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν. καὶ ἠκολούθησαν αὐτῷ [ὄχλοι] πολλοί, | **Mk3:9** καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον ἵνα μὴ θλίβωσιν αὐτόν˙ | καὶ οἱ ἐνοχλούμενοι ἀπὸ πνευμάτων |
| καὶ ἐθεράπευσεν αὐτοὺς πάντας | **Mk3:10** πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται | ἀκαθάρτων ἐθεραπεύοντο, **Lk6:19** καὶ πᾶς ὁ ὄχλος ἐζήτουν ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ |

| | | |
|---|---|---|
| Mt12:16 καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν, *Mt12:17 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος· Mt12:18 ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. Mt12:19 οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. Mt12:20 κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν. Mt12:21 καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.* | ὅσοι εἶχον μάστιγας. Mk3:11 καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώρουν, προσέπιπτον αὐτῷ καὶ ἔκραζον λέγοντες ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. Mk3:12 καὶ πολλὰ ἐπετίμα αὐτοῖς ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσιν. | αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. ---------- Lk4:41 ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κρ[αυγ]άζοντα καὶ λέγοντα ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι. |

No. 25 *[49. 99a]*. The Choosing of the Twelve / 十二人の選び

| Mt 10:1-4 | Mk 3:13-19 | Lk 6:12-16 |
|---|---|---|
| *Mt5:1a Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος,* ---------- | Mk3:13 Καὶ ἀναβαίνει εἰς τὸ ὄρος | Lk6:12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξελθεῖν αὐτὸν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ. |
| Mt10:1 Καὶ προσκαλεσάμενος | καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον πρὸς αὐτόν. | Lk6:13 καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησεν τοὺς μαθητὰς αὐτοῦ, |
| τοὺς δώδεκα μαθητὰς αὐτοῦ | Mk3:14 καὶ ἐποίησεν δώδεκα [οὓς καὶ ἀποστόλους ὠνόμασεν] ἵνα ὦσιν μετ' αὐτοῦ | καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασεν, |
| ἔδωκεν αὐτοῖς ἐξουσίαν | καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς | |

| | | | |
|---|---|---|---|
| πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. | κηρύσσειν **Mk3:15** καὶ ἔχειν ἐξουσίαν ἐκβάλλειν τὰ δαιμόνια· | **Jh1:42b** ...ὁ Ἰησοῦς εἶπεν, Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωάννου, σὺ κληθήσῃ Κηφᾶς ὃ ἑρμηνεύεται Πέτρος. | |
| **Mt10:2** Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα· | **Mk3:16** [καὶ ἐποίησεν τοὺς δώδεκα,] | | |
| πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος | καὶ ἐπέθηκεν ὄνομα τῷ Σίμωνι Πέτρον, | **Lk6:14** Σίμωνα ὃν καὶ ὠνόμασεν Πέτρον, | **Acts 1:13** καὶ ὅτε εἰσῆλθον, εἰς τὸ ὑπερῷον ἀνέβησαν οὗ ἦσαν καταμένοντες, ὅ τε |
| καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, | | καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, | |
| καὶ Ἰάκωβος | **Mk3:17** καὶ Ἰάκωβον | καὶ Ἰάκωβον | Πέτρος |
| ὁ τοῦ Ζεβεδαίου | τὸν τοῦ Ζεβεδαίου | | καὶ Ἰωάννης |
| καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, | καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου καὶ ἐπέθηκεν αὐτοῖς ὀνόμα[τα] Βοανηργές, ὅ ἐστιν Υἱοὶ Βροντῆς· | καὶ Ἰωάννην | καὶ Ἰάκωβος καὶ Ἀνδρέας, |
| | **Mk3:18** καὶ Ἀνδρέαν | | |
| **Mt10:3** Φίλιππος | καὶ Φίλιππον | καὶ Φίλιππον | Φίλιππος |
| | | | καὶ Θωμᾶς, |
| καὶ Βαρθολομαῖος, | καὶ Βαρθολομαῖον | καὶ Βαρθολομαῖον | Βαρθολομαῖος καὶ |
| Θωμᾶς | καὶ Μαθθαῖον | **Lk6:15** καὶ Μαθθαῖον | Μαθθαῖος, |
| καὶ Μαθθαῖος ὁ τελώνης, | καὶ Θωμᾶν | καὶ Θωμᾶν | |
| Ἰάκωβος ὁ τοῦ Ἁλφαίου | καὶ Ἰάκωβον τὸν τοῦ Ἁλφαίου | καὶ Ἰάκωβον Ἁλφαίου | Ἰάκωβος Ἁλφαίου |
| καὶ Θαδδαῖος, | καὶ Θαδδαῖον | | |
| **Mt10:4** Σίμων ὁ Καναναῖος | καὶ Σίμωνα τὸν Καναναῖον | καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτὴν | καὶ Σίμων ὁ ζηλωτὴς |
| | | **Lk6:16** καὶ Ἰούδαν Ἰακώβου | καὶ Ἰούδας Ἰακώβου. |
| καὶ Ἰούδας ὁ Ἰσκαριώτης ὁ καὶ παραδοὺς αὐτόν. | **Mk3:19** καὶ Ἰούδαν Ἰσκαριώθ, ὃς καὶ παρέδωκεν αὐτόν. | καὶ Ἰούδαν Ἰσκαριώθ, ὃς ἐγένετο προδότης. | |

## No. 26 *[50. 77]*. The Sermon Starting / 説教への導入

| Mt 5:1-2 | Mk | Lk 6:20a |
|---|---|---|
| **Mt5:1** Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, | ***Mk3:13a*** *Καὶ ἀναβαίνει εἰς τὸ ὄρος* | ***Lk6:12*** *Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξελθεῖν αὐτὸν εἰς τὸ ὄρος προσεύξασθαι,* |

| Mt | Mk | Lk |
|---|---|---|
| | | *καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ.* |
| | | ---------- |
| καὶ καθίσαντος αὐτοῦ προσῆλθαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· | | **Lk6:20a** Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ |
| **Mt5:2** καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων, | | ἔλεγεν, |

## No. 27 *[51. 78. 79].* The Beatitudes / 幸いの詞

| Mt 5:3-12 | Mk | Lk 6:20b-26 |
|---|---|---|
| **Mt5:3** Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. | | **Lk6:20b** Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. |
| **Mt5:4** μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. | | |
| **Mt5:5** μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν. | | |
| **Mt5:6** μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. | | **Lk6:21** μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. |

**Th54** Λέγει Ἰησοῦς· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

**Th58*** Jesus says: "Blessed is the person who has struggled. He has found life."

*(*no Greek translation available in Aland's Synopsis)*

**Th69** (2) μακάριοι οἱ πεινῶντες, ἵνα χορτασθῇ ἡ κοιλία τοῦ θέλοντες. (1) Λέγει Ἰησοῦς· μακάριοι οἱ δεδιωγμένοι ἐν τῇ καρδίᾳ αὐτῶν. ἐκεῖνοί εἰσιν οἱ ἀληθῶς γνόντες τὸν πατέρα.

**Th68** (1) Λέγει Ἰησοῦς· μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς καὶ διώξωσιν ὑμᾶς. (2) καὶ οὐχ εὑρήσουσιν τόπον, ὅπου ἐδίωξαν ὑμᾶς.

| Mt | Mk | Lk |
|---|---|---|
| **Mt5:7** μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. | | |
| **Mt5:8** μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. | | |
| **Mt5:9** μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. | | |
| **Mt5:10** μακάριοι οἱ δεδιωγμένοι | | |

| | |
|---|---|
| ἕνεκεν δικαιοσύνης, | |
| ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. | |
| **Mt5:11** μακάριοί ἐστε | **Lk6:22** μακάριοί ἐστε |
| | ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι καὶ |
| ὅταν ὀνειδίσωσιν ὑμᾶς | ὅταν ἀφορίσωσιν ὑμᾶς |
| καὶ διώξωσιν | καὶ ὀνειδίσωσιν |
| καὶ εἴπωσιν πᾶν πονηρὸν καθ’ ὑμῶν [ψευδόμενοι] | καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν |
| ἕνεκεν ἐμοῦ. | ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· |
| **Mt5:12** χαίρετε καὶ ἀγαλλιᾶσθε, | **Lk6:23** χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, |
| ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· | ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· |
| οὕτως γὰρ ἐδίωξαν | κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν |
| τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. | τοῖς προφήταις οἱ πατέρες αὐτῶν. |
| | **Lk6:24** Πλὴν |
| | οὐαὶ ὑμῖν τοῖς πλουσίοις, |
| | ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. |
| **Jh16:2a** ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς·... | **Lk6:25** οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι νῦν, |
| | ὅτι πεινάσετε. |
| | οὐαί, οἱ γελῶντες νῦν, |
| | ὅτι πενθήσετε καὶ κλαύσετε. |
| | **Lk6:26** οὐαὶ ὅταν ὑμᾶς καλῶς εἴπωσιν |
| | πάντες οἱ ἄνθρωποι· |
| | κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις |
| | οἱ πατέρες αὐτῶν. |

## No. 28 *[58. 80b].* If One Strikes You on the Cheek / 頬を打つ者に

| Mt 5:38-42 | Mk | Lk 6:29-30 |
|---|---|---|
| **Mt5:38** Ἠκούσατε ὅτι ἐρρέθη, | | |
| **Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος.** | | |
| **Mt5:39** ἐγὼ δὲ λέγω ὑμῖν | | |
| μὴ ἀντιστῆναι τῷ πονηρῷ· | | |
| ἀλλ’ ὅστις σε ῥαπίζει | | **Lk6:29** τῷ τύπτοντί σε |
| εἰς τὴν δεξιὰν σιαγόνα [σου], | | ἐπὶ τὴν σιαγόνα |
| στρέψον αὐτῷ καὶ τὴν ἄλλην· | | πάρεχε καὶ τὴν ἄλλην, |
| **Mt5:40** καὶ τῷ θέλοντί σοι κριθῆναι | | καὶ |
| καὶ τὸν χιτῶνά σου λαβεῖν, | | ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον |
| ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· | | καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. |

| Mt | Lk |
|---|---|
| **Mt5:41** καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. | |
| **Mt5:42** τῷ αἰτοῦντί σε δός, | **Lk6:30** παντὶ αἰτοῦντί σε δίδου, |
| καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανίσασθαι μὴ ἀποστραφῇς. | καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. |

## No. 29 *[71. 80c].* Golden Rule / 黄金律

| Mt 7:12 | Mk | Lk 6:31 |
|---|---|---|
| **Mt7:12** Πάντα οὖν ὅσα ἐὰν θέλητε | | **Lk6:31** καὶ καθὼς θέλετε |
| ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, | | ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι |
| οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς˙ | | ποιεῖτε αὐτοῖς ὁμοίως. |
| οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. | | |

**Th6** (3) καὶ ὅ τι μισεῖτε μὴ ποιεῖτε.

## No. 30 *[59. 80a. d].* Love Your Enemies / 愛敵

| Mt 5:43-48 | Mk | Lk 6:27-28, 32-36 | |
|---|---|---|---|
| **Mt5:43** Ἠκούσατε ὅτι ἐρρέθη, | | | |
| Ἀγαπήσεις τὸν πλησίον σου | | | |
| καὶ μισήσεις τὸν ἐχθρόν σου. | | | |
| **Mt5:44** ἐγὼ δὲ λέγω ὑμῖν, | | **Lk6:27** Ἀλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν, | **Lk6:35a** πλὴν |
| ἀγαπᾶτε | | ἀγαπᾶτε | ἀγαπᾶτε |
| τοὺς ἐχθροὺς ὑμῶν | | τοὺς ἐχθροὺς ὑμῶν, | τοὺς ἐχθροὺς ὑμῶν |
| | | καλῶς ποιεῖτε | καὶ ἀγαθοποιεῖτε |
| | | τοῖς μισοῦσιν ὑμᾶς, | καὶ δανίζετε |
| | | **Lk6:28** εὐλογεῖτε | μηδὲν ἀπελπίζοντες˙ |
| | | τοὺς καταρωμένους ὑμᾶς, | |
| καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς, | | προσεύχεσθε περὶ τῶν ἐπηρεαζόντων ὑμᾶς. | |
| | | ---------- | |
| | | **Lk6:35b** καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, | |
| **Mt5:45** ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, | | καὶ ἔσεσθε υἱοὶ ὑψίστου, | |

| | |
|---|---|
| ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει<br>ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς<br>καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. | ὅτι αὐτὸς χρηστός ἐστιν<br>ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.<br><br>---------- |
| **Mt5:46** ἐὰν γὰρ ἀγαπήσητε<br>τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε;<br>οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτο ποιοῦσιν; | **Lk6:32** καὶ εἰ ἀγαπᾶτε<br>τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν;<br>καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας<br>αὐτοὺς ἀγαπῶσιν. |
| **Mt5:47** καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν<br>μόνον, τί περισσὸν ποιεῖτε;<br>οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; | **Lk6:33** καὶ [γὰρ] ἐὰν ἀγαθοποιῆτε τοὺς<br>ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν;<br>καὶ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν. |
| **Th95** (1) [Λέγει Ἰησοῦς]˙ ἐὰν ἔχητε ἀργύριον, μὴ δανείζετε, (2) ἀλλὰ δίδοτε [αὐτὸ] παρ' οὗ οὐκ ἀπολήμψεσθε αὐτά. | **Lk6:34** καὶ ἐὰν δανίσητε παρ' ὧν ἐλπίζετε<br>λαβεῖν, ποία ὑμῖν χάρις [ἐστίν];<br>καὶ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανίζουσιν ἵνα<br>ἀπολάβωσιν τὰ ἴσα.<br>---------- |
| **Mt5:48** Ἔσεσθε οὖν ὑμεῖς τέλειοι<br>ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν. | **Lk6:36** Γίνεσθε οἰκτίρμονες<br>καθὼς [καὶ] ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν. |

## No. 31 *[68. 81a. 125b].* Judge Not / 審くな （Cf. No. 50）

| Mt 7:1-2 | Mk 4:24b | Lk 6:37-38 |
|---|---|---|
| **Mt7:1** Μὴ κρίνετε,<br>ἵνα μὴ κριθῆτε˙ | | **Lk6:37** Καὶ μὴ κρίνετε,<br>καὶ οὐ μὴ κριθῆτε˙<br>καὶ μὴ καταδικάζετε, καὶ οὐ μὴ<br>καταδικασθῆτε. ἀπολύετε, καὶ<br>ἀπολυθήσεσθε˙<br>**Lk6:38** δίδοτε, καὶ δοθήσεται ὑμῖν˙<br>μέτρον καλὸν πεπιεσμένον<br>σεσαλευμένον ὑπερεκχυννόμενον<br>δώσουσιν εἰς τὸν κόλπον ὑμῶν˙ |
| **Mt7:2a** ἐν ᾧ γὰρ κρίματι κρίνετε<br>κριθήσεσθε,<br>**Mt7:2b** καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε<br>μετρηθήσεται ὑμῖν. | **Mk4:24b**<br>ἐν ᾧ μέτρῳ μετρεῖτε<br>μετρηθήσεται ὑμῖν καὶ<br>προστεθήσεται ὑμῖν. | ᾧ γὰρ μέτρῳ μετρεῖτε<br>ἀντιμετρηθήσεταί ὑμῖν. |

## No. 32 *[81b. 150b].* A Blind Guide / 盲目の道案内

| Mt 15:14 | Mk | Lk 6:39 |
| --- | --- | --- |
| **Mt15:14** ἄφετε αὐτούς· τυφλοί εἰσιν ὁδηγοί [τυφλῶν]· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. | | **Lk6:39** Εἶπεν δὲ καὶ παραβολὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται; |

**Th34** Λέγει Ἰησοῦς· τυφλὸς ἐὰν προάγῃ τυφλόν, ἀμφότεροι πίπτουσιν εἰς βόθυνον.

## No. 33 *[81c. 100b].* The Teacher and the Disciple / 師と弟子

| Mt 10:24-25 | Mk | Lk 6:40 |
| --- | --- | --- |
| **Mt10:24** Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. **Mt10:25** ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ. εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ. | | **Lk6:40** οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. |

**Jh13:16** ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.

**Jh15:20** ...ἐγὼ εἶπον ὑμῖν, Οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν.

## No. 34 *[68b. 81d].* The Log in the Eye / 目の中の梁

| Mt 7:3-5 | Mk | Lk 6:41-42 |
| --- | --- | --- |
| **Mt7:3** τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τω σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; **Mt7:4** ἢ πῶς ἐρεῖς | | **Lk6:41** Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; **Lk6:42** πῶς δύνασαι λέγειν |

| Mt | Mk | Lk |
|---|---|---|
| τῷ ἀδελφῷ σου, Ἄφες<br>ἐκβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ<br>σου,<br>καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σοῦ;<br><br>**Mt7:5** ὑποκριτά,<br>ἔκβαλε πρῶτον<br>ἐκ τοῦ ὀφθαλμοῦ σοῦ τὴν δοκόν,<br>καὶ τότε διαβλέψεις ἐκβαλεῖν<br>τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ<br>ἀδελφοῦ σου. | | τῷ ἀδελφῷ σου, Ἀδελφέ, ἄφες<br>ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ<br>ὀφθαλμῷ σου,<br>αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σοῦ<br>δοκὸν οὐ βλέπων;<br>ὑποκριτά,<br>ἔκβαλε πρῶτον<br>τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ,<br>καὶ τότε διαβλέψεις<br>τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ<br>ἀδελφοῦ σου ἐκβαλεῖν. |

> **Th26** (1)Λέγει Ἰησοῦς· τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου βλέπεις, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ σου οὐ βλέπεις. (2) ὅταν ἐκβάλῃς τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

## No. 35 *[73. 82. 118b].* By their Fruits ... / 実によって知られる

| Mt 7:15-20 | Mt 12:33-35 | Mk | Lk 6:43-45 |
|---|---|---|---|
| *A: According to Luke's sequence* | | | |
| **Mt7:15** Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προβάτων, ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες.<br>---------- | | | |
| **Mt7:18** οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν<br>οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.<br>---------- | **Mt12:33a** Ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν,<br>ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· | | **Lk6:43** Οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν,<br>οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν. |
| **Mt7:16a**<br>ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.<br>---------- | **Mt12:33b** ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. | | **Lk6:44a** ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· |
| **Mt7:20** ἄρα γε<br>ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. | | | |

> **Th43*** (3) But you have become like the Jews! They love the tree, (but) they hate its fruit. Or they love the fruit, (but) they hate the tree.
>
> *(*no Greek retranslation available in Aland's Synopsis)*

----------

**Mt7:16b** μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὰς ἢ ἀπὸ τριβόλων σῦκα;

**Lk6:44b** οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα οὐδὲ ἐκ βάτου σταφυλὴν τρυγῶσιν.

**Mt7:17** οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ.

**Th45** (1) Λέγει Ἰησοῦς˙ οὐ τρυγῶσιν ἐξ ἀκανθῶν σταφυλὰς οὐδὲ συλλέγουσιν σῦκα ἀπὸ τριβόλων˙ οὐ γὰρ διδόασιν καρπόν. (2) ἀγαθὸς ἄνθρωπος προφέρει ἀγαθόν τι ἐκ τοῦ θησαυροῦ αὐτοῦ. (3) κακ[ὸς] ἄνθρωπος προφέρει πονηρὰ ἐκ τοῦ θησαυροῦ αὐτοῦ τοῦ κακοῦ, ὅς (ἐστιν) ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ λαλεῖ πονηρά. (4) ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας προφέρει πονηρά.

----------

**Mt7:19** πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

----------

**Mt12:35** ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

**Lk6:45a** ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἐκ τοῦ πονηροῦ προφέρει τὸ πονηρόν˙

----------

**Mt12:34b** ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

**Lk6:45b** ἐκ γὰρ περισσεύματος καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

----------

**Mt12:34a** γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες;

***B: According to Matthew's sequence***

**Mt7:15** Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προβάτων, ἔσωθεν δέ εἰσιν Λκοι ἅρπαγες.

**Mt7:16a** ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

**Mt7:16b** μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὰς ἢ ἀπὸ τριβόλων σῦκα;

**Th43*** (3) But you have become like the Jews! They love the tree, (but) they hate its fruit. Or they love the fruit, (but) they hate the tree.

*(*no Greek retranslation available in Aland's Synopsis)*

**Lk6:44b** οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα οὐδὲ ἐκ βάτου σταφυλὴν τρυγῶσιν.

---------

| | | | |
|---|---|---|---|
| **Mt7:17** οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. | | | |
| **Mt7:18** οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν<br>οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. | **Mt12:33a** Ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν,<br>ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· | | **Lk6:43** Οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν,<br>οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν.<br>---------- |
| **Mt7:19** πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. | | | |
| **Mt7:20** ἄρα γε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. | **Mt12:33b** ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. | | **Lk6:44a** ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται·<br>---------- |
| **Th45** (1) Λέγει Ἰησοῦς· οὐ τρυγῶσιν ἐξ ἀκανθῶν σταφυλὰς οὐδὲ συλλέγουσιν σῦκα ἀπὸ τριβόλων· οὐ γὰρ διδόασιν καρπόν. (2) ἀγαθὸς ἄνθρωπος προφέρει ἀγαθόν τι ἐκ τοῦ θησαυροῦ αὐτοῦ. (3) κακ[ὸς] ἄνθρωπος προφέρει πονηρὰ ἐκ τοῦ θησαυροῦ αὐτοῦ τοῦ κακοῦ, ὅς (ἐστιν) ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ λαλεῖ πονηρά. (4) ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας προφέρει πονηρά. | **Mt12:34a** γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες;<br>**Mt12:34b** ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.<br>**Mt12:35** ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά,<br>καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. | | **Lk6:45b** ἐκ γὰρ περισσεύματος καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.<br>----------<br>**Lk6:45a** ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὸ ἀγαθόν,<br>καὶ ὁ πονηρὸς ἐκ τοῦ πονηροῦ προφέρει τὸ πονηρόν· |

## No. 36 *[74. 83a. 211b].* Those Who Say "Lord, Lord" / 「主よ、主よ」

| Mt 7:21-23 | Mk | Lk 6:46; 13:25-27 |
|---|---|---|
| **Mt7:21** Οὐ πᾶς ὁ λέγων μοι, Κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, | | **Lk6:46** Τί δέ με καλεῖτε, Κύριε κύριε, |

| | | |
|---|---|---|
| ἀλλ’ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου | | καὶ οὐ ποιεῖτε α. λέγω; |
| τοῦ ἐν τοῖς οὐρανοῖς. | | ---------- |
| **Mt7:22** πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, | | **Lk13:25** ἀφ’ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν λέγοντες, |
| Κύριε κύριε, | | Κύριε, ἄνοιξον ἡμῖν, |
| | | καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν, |
| | **Cf. Mt 7:23b. | Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ.** |
| οὐ τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; | | **Lk13:26** τότε ἄρξεσθε λέγειν, Ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας˙ |
| **Mt7:23** καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι | | **Lk13:27** καὶ ἐρεῖ λέγων ὑμῖν, |
| Οὐδέποτε ἔγνων ὑμᾶς˙* *Cf. Lk 13:25 | | Οὐκ οἶδα [ὑμᾶς] πόθεν ἐστέ˙ |
| ἀποχωρεῖτε ἀπ’ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. | | ἀπόστητε ἀπ’ ἐμοῦ, πάντες ἐργάται ἀδικίας. |
| ---------- | | |
| ***Mt25:10*** *ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ’ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα.* | | |
| ***Mt25:11*** *ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι, Κύριε κύριε, ἄνοιξον ἡμῖν.* | | |
| ***Mt25:12*** *ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.* | | |

## No. 37 *[75. 83b].* The House Built upon the Rock / 岩上の家と砂上の家

| Mt 7:24-27 | Mk | Lk 6:47-49 |
|---|---|---|
| **Mt7:24** Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, | | **Lk6:47** πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, |
| | | ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος˙ |
| ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, | | **Lk6:48** ὅμοιός ἐστιν ἀνθρώπῳ |
| ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν | | οἰκοδομοῦντι οἰκίαν ὃς ἔσκαψεν καὶ ἐβάθυνεν καὶ |
| ἐπὶ τὴν πέτραν˙ | | ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν˙ |
| **Mt7:25** καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον | | πλημμύρης δὲ γενομένης |
| οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ | | προσέρηξεν ὁ ποταμὸς |
| προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, | | τῇ οἰκίᾳ ἐκείνῃ, |
| καὶ οὐκ ἔπεσεν, | | καὶ οὐκ ἴσχυσεν σαλεῦσαι αὐτὴν |
| τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. | | διὰ τὸ καλῶς οἰκοδομῆσθαι αὐτήν. |

| | |
|---|---|
| **Mt7:26** καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ἄμμον· **Mt7:27** καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσεν καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. | **Lk6:49** ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέρηξεν ὁ ποταμός, καὶ εὐθὺς συνέπεσεν καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα. |

## No. 38 *[85].* The Faith of the Centurion / 百人隊長の信

| Mt 8:5-13 | Mk 2:1; 7:30 | Lk 7:1-10 |
|---|---|---|
| **Mt8:5** Εἰσελθόντος δὲ αὐτοῦ εἰς Καφαρναοὺμ προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν **Mt8:6** καὶ λέγων, Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. | **Mk2:1** Καὶ εἰσελθὼν πάλιν εἰς Καφαρναοὺμ δι᾽ ἡμερῶν ἠκούσθη ὅτι ἐν οἴκῳ ἐστίν. | **Lk7:1** Ἐπειδὴ ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καφαρναούμ. **Lk7:2** Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἤμελλεν τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. **Lk7:3** ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ ἀπέστειλεν πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. **Lk7:4** οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν παρεκάλουν αὐτὸν σπουδαίως λέγοντες ὅτι Ἄξιός ἐστιν ᾧ παρέξῃ τοῦτο· **Lk7:5** ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. |

**Jh4:46** Ἦλθεν οὖν πάλιν εἰς τὴν Κανὰ τῆς Γαλιλαίας, ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον. καὶ ἦν τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν Καφαρναούμ. **Jh4:47** οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν ἀπῆλθεν πρὸς αὐτὸν καὶ ἠρώτα ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν, ἤμελλεν γὰρ ἀποθνῄσκειν. **Jh4:48** εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν, Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. **Jh4:49** λέγει πρὸς αὐτὸν ὁ βασιλικός, Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. **Jh4:50** λέγει αὐτῷ ὁ Ἰησοῦς, Πορεύου, ὁ υἱός σου ζῇ. ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ὃν εἶπεν αὐτῷ ὁ Ἰησοῦς καὶ ἐπορεύετο.

| Mt 8:5-13 | Mk 2:1; 7:30 | Lk 7:1-10 |
|---|---|---|
| **Mt8:7** καὶ λέγει αὐτῷ, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. **Mt8:8** καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη, Κύριε, οὐκ εἰμὶ ἱκανὸς | | **Lk7:6** ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας ἔπεμψεν φίλους ὁ ἑκατοντάρχης λέγων αὐτῷ, Κύριε, μὴ σκύλλου, οὐ γὰρ ἱκανός εἰμι |

| | | |
|---|---|---|
| ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, | | ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς·<br>**Lk7:7** διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρὸς σὲ ἐλθεῖν· |
| ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ<br>ἰαθήσεται ὁ παῖς μου. | | ἀλλὰ εἰπὲ λόγῳ, καὶ<br>ἰαθήτω ὁ παῖς μου. |
| **Mt8:9** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν,<br>ἔχων ὑπ’ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. | | **Lk7:8** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος<br>ἔχων ὑπ’ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. |
| **Mt8:10** ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν καὶ<br>εἶπεν τοῖς ἀκολουθοῦσιν,<br>Ἀμὴν λέγω ὑμῖν, παρ’ οὐδενὶ τοσαύτην πίστιν ἐν τῷ Ἰσραὴλ<br>εὗρον. | | **Lk7:9** ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπεν,<br>Λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν<br>εὗρον.<br>---------- |
| **Mt8:11** λέγω δὲ ὑμῖν ὅτι πολλοὶ<br>ἀπὸ ἀνατολῶν καὶ δυσμῶν<br>ἥξουσιν<br>καὶ ἀνακλιθήσονται | | ***Lk13:29*** *καὶ ἥξουσιν*<br>*ἀπὸ ἀνατολῶν καὶ δυσμῶν*<br>*καὶ ἀπὸ βορρᾶ καὶ νότου*<br>*καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.*<br>---------- |
| | | ***Lk13:28*** *ἐκεῖ ἔσται ὁ κλαυθμὸς*<br>*καὶ ὁ βρυγμὸς τῶν ὀδόντων,* |
| μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ<br>ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν,<br>**Mt8:12** οἱ δὲ υἱοὶ τῆς βασιλείας<br>ἐκβληθήσονται εἰς τὸ σκότος τὸ<br>ἐξώτερον· | | *ὅταν ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας*<br>*ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ,*<br>*ὑμᾶς δὲ*<br>*ἐκβαλλομένους*<br>*ἔξω.* |
| ἐκεῖ ἔσται ὁ κλαυθμὸς<br>καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. * | | |
| **Mt8:13** καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῃ, Ὕπαγε, ὡς ἐπίστευσας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς [αὐτοῦ] ἐν τῇ ὥρᾳ ἐκείνῃ. | ----------<br>**Mk7:30** καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ παιδίον | ----------<br>**Lk7:10** καὶ ὑποστρέψαντες εἰς τὸν οἶκον οἱ πεμφθέντες εὗρον τὸν |

* For this expression, cf. Mt8:12/Lk13:28 (No. 117).

| | | |
|---|---|---|
| | βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός. | δοῦλον ὑγιαίνοντα. |

**Jh4:51** ἤδη δὲ αὐτοῦ καταβαίνοντος οἱ δοῦλοι αὐτοῦ ὑπήντησαν αὐτῷ λέγοντες ὅτι ὁ παῖς αὐτοῦ ζῇ. **Jh4:52** ἐπύθετο οὖν τὴν ὥραν παρ' αὐτῶν ἐν ᾗ κομψότερον ἔσχεν· εἶπαν οὖν αὐτῷ ὅτι Ἐχθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. **Jh4:53** ἔγνω οὖν ὁ πατὴρ ὅτι [ἐν] ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.

## No. 39 *[106].* John the Baptist's Question / ヨハネの問い

| Mt 11:2-6 | Mk | Lk 7:18-23 |
|---|---|---|
| **Mt11:2** Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ πέμψας διὰ τῶν μαθητῶν αὐτοῦ | | **Lk7:18** Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης |
| **Mt11:3** εἶπεν αὐτῷ, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; | | **Lk7:19** ἔπεμψεν πρὸς τὸν κύριον λέγων, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν; |
| | | **Lk7:20** παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπαν, Ἰωάννης ὁ βαπτιστὴς ἀπέστειλεν ἡμᾶς πρὸς σὲ λέγων, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν; |
| | | **Lk7:21** ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐθεράπευσεν πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο βλέπειν. |
| **Mt11:4** καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· | | **Lk7:22** καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· |
| **Mt11:5** τυφλοὶ ἀναβλέπουσιν | | τυφλοὶ ἀναβλέπουσιν, |
| καὶ | | |
| χωλοὶ περιπατοῦσιν, | | χωλοὶ περιπατοῦσιν, |
| λεπροὶ καθαρίζονται | | λεπροὶ καθαρίζονται |
| καὶ | | καὶ |
| κωφοὶ ἀκούουσιν, | | κωφοὶ ἀκούουσιν, |
| καὶ | | |
| νεκροὶ ἐγείρονται | | νεκροὶ ἐγείρονται, |
| καὶ | | |
| πτωχοὶ εὐαγγελίζονται· | | πτωχοὶ εὐαγγελίζονται· |
| **Mt11:6** καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. | | **Lk7:23** καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. |

## No. 40 *[107a]*. Jesus' Witness concerning John / イエス、ヨハネを証する

| Mt 11:7-15 | Mk | Lk 7:24-30 |
| --- | --- | --- |
| **Mt11:7** Τούτων δὲ πορευομένων ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου, Τί ἐξήλθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; | **Th78** (1) Λέγει Ἰησοῦς· (διὰ) τί ἐξήλθατε εἰς τὸν ἀγρόν; θεάσασθαι κάλαμον σαλευόμενον ὑπὸ τοῦ ἀνέμου;<br>(2) καὶ θεάσασθαι ἄνθρωπον μαλακὰ ἱματία ἔχοντα ὡς οἱ βασιλεῖς ὑμῶν καὶ οἱ μεγιστάνοι ὑμῶν; (3) οὗτοι ἔχουσιν τὰ ἱμάτια τὰ μαλακὰ καὶ οὐ δυνήσονται γνῶναι τὴν ἀλήθειαν. | **Lk7:24** Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου, Τί ἐξήλθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; |
| **Mt11:8** ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. | | **Lk7:25** ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν. |
| **Mt11:9** ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; προφήτην; ναί λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. | | **Lk7:26** ἀλλὰ τί ἐξήλθατε ἰδεῖν; προφήτην; ναί λέγω ὑμῖν, κα ὶ περισσότερον προφήτου. |
| **Mt11:10** οὗτός ἐστιν περὶ οὗ γέγραπται, | ***Mk1:2*** *Καθὼς γέγραπται ἐν τῷ Ἠσαΐᾳ τῷ προφήτῃ,* | **Lk7:27** οὗτός ἐστιν περὶ οὗ γέγραπται, |
| Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. | ***Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου·*** | Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. |
| **Mt11:11** ἀμὴν λέγω ὑμῖν· οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· | | **Lk7:28** λέγω ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου οὐδείς ἐστιν· |
| ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν. | | ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ μείζων αὐτοῦ ἐστιν. |
| | | ----------<br>***Lk16:16a*** *Ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου·* |
| **Mt11:12** ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, | | ***Lk16:16b*** *ἀπὸ τότε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται* |

| | | |
|---|---|---|
| καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.<br>**Mt11:13** πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου ἐπροφήτευσαν˙<br>**Mt11:14** καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι.<br>**Mt11:15** ὁ ἔχων ὦτα ἀκουέτω.<br><br>As for Mt11:15, cf. Mk4:9 (No. 45). | **Th46** (1) Λέγει Ἰησοῦς˙ ἀπὸ Αδὰμ μέχρι Ἰωάννου τοῦ βαπτιστοῦ ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωαννου του βαπτιστοῦ οὐδείς ἐστιν, ἵνα μὴ (...) οἱ ὀφθαλμοὶ αὐτοῦ. (2) εἶπον δὲ˙ ὅστις μικρὸς γενήσεται ἐν ὑμῖν την βασιλείαν γνώσεται καὶ μείζων Ἰωαννοῦ ἔσται. | *καὶ πᾶς εἰς αὐτὴν βιάζεται.*<br><br>----------<br><br>**Lk7:29** Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν θεόν βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου˙<br>**Lk7:30** οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ θεοῦ ἠθέτησαν εἰς ἑαυτούς μὴ βαπτισθέντες ὑπ’ αὐτοῦ. |

## No. 41 *[107b]*. Children at the Marketplace / 市場の子供たちの譬

| Mt 11:16-19 | Mk | Lk 7:31-35 |
|---|---|---|
| **Mt11:16** Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; | | **Lk7:31** Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης καὶ τίνι εἰσὶν ὅμοιοι; |
| ὁμοία ἐστὶν παιδίοις καθημένοις ἐν ταῖς ἀγοραῖς ἃ προσφωνοῦντα τοῖς ἑτέροις | | **Lk7:32** ὅμοιοί εἰσιν παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις ἃ λέγει, |
| **Mt11:17** λέγουσιν, Ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν καὶ οὐκ ἐκόψασθε. | | Ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν καὶ οὐκ ἐκλαύσατε. |
| **Mt11:18** ἦλθεν γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσιν, Δαιμόνιον ἔχει. | | **Lk7:33** ἐλήλυθεν γὰρ Ἰωάννης ὁ βαπτιστὴς μὴ ἐσθίων ἄρτον μήτε πίνων οἶνον, καὶ λέγετε, Δαιμόνιον ἔχει. |
| **Mt11:19** ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. | | **Lk7:34** ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν. |
| καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν ἔργων αὐτῆς. | | **Lk7:35** καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ πάντων τῶν τέκνων αὐτῆς. |

## No. 42 *[97. 117. 118]*. On Collusion with Beelzebul / ベエルゼブル論争

| Mt 9:32-34 | Mt 12:22-30 | Mk 3:22-27 | Lk 11:14-23 |
|---|---|---|---|
| **Mt9:32** Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον. | **Mt12:22** Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφός, | | **Lk11:14** Καὶ ἦν ἐκβάλλων δαιμόνιον [καὶ αὐτὸ ἦν] κωφόν· |
| **Mt9:33** καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες, Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. | καὶ ἐθεράπευσεν αὐτόν, ὥστε τὸν κωφὸν λαλεῖν καὶ βλέπειν. **Mt12:23** καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι καὶ ἔλεγον, Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαυίδ; | | ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος ἐλάλησεν ὁ κωφός καὶ ἐθαύμασαν οἱ ὄχλοι . |
| **Mt9:34** οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. | **Mt12:24** οἱ δὲ Φαρισαῖοι ἀκούσαντες εἶπον, Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. | **Mk3:22** καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον ὅτι Βεελζεβοὺλ ἔχει καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. | **Lk11:15** τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· |
| ----------<br>***Mt16:1*** *Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς*<br>---------- | | ----------<br>***Mk8:11*** *Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν.*<br>---------- | **Lk11:16** ἕτεροι δὲ πειράζοντες σημεῖον ἐξ οὐρανοῦ ἐζήτουν παρ' αὐτοῦ. |

| | | |
|---|---|---|
| **Mt12:25** εἰδὼς δὲ τὰς ἐνθυμήσεις αὐτῶν<br>εἶπεν αὐτοῖς, | **Mk3:23** καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παραβολαῖς<br>ἔλεγεν αὐτοῖς,<br>Πῶς δύναται Σατανᾶς Σατανᾶν<br>ἐκβάλλειν**; **Cf. Mt 12:26. | **Lk11:17** αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα<br>εἶπεν αὐτοῖς, |
| Πᾶσα βασιλεία<br>μερισθεῖσα καθ' ἑαυτῆς<br>ἐρημοῦται<br>καὶ πᾶσα πόλις ἢ οἰκία<br>μερισθεῖσα καθ' ἑαυτῆς οὐ<br>σταθήσεται. | **Mk3:24** καὶ ἐὰν βασιλεία<br>ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται<br>σταθῆναι ἡ βασιλεία ἐκείνη·<br>**Mk3:25** καὶ ἐὰν οἰκία<br>ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δυνήσεται<br>ἡ οἰκία ἐκείνη σταθῆναι. | Πᾶσα βασιλεία<br>ἐφ' ἑαυτὴν διαμερισθεῖσα<br>ἐρημοῦται<br>καὶ οἶκος<br><br>ἐπὶ οἶκον πίπτει. |
| **Mt12:26** καὶ εἰ ὁ Σατανᾶς τὸν<br>Σατανᾶν ἐκβάλλει*, *Cf. Mk 3:23.<br>ἐφ' ἑαυτὸν ἐμερίσθη·<br>πῶς οὖν σταθήσεται<br>ἡ βασιλεία αὐτοῦ; | **Mk3:26** καὶ εἰ ὁ Σατανᾶς ἀνέστη<br>ἐφ' ἑαυτὸν καὶ ἐμερίσθη,<br>οὐ δύναται στῆναι ἀλλὰ τέλος ἔχει. | **Lk11:18** εἰ δὲ καὶ ὁ Σατανᾶς<br><br>ἐφ' ἑαυτὸν διεμερίσθη,<br>πῶς σταθήσεται<br>ἡ βασιλεία αὐτοῦ;<br>ὅτι λέγετε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια. |
| **Mt12:27** καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ<br>ἐκβάλλω τὰ δαιμόνια,<br>οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;<br>διὰ τοῦτο αὐτοὶ κριταὶ ἔσονται<br>ὑμῶν. | | **Lk11:19** εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ<br>ἐκβάλλω τὰ δαιμόνια,<br>οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;<br>διὰ τοῦτο αὐτοὶ ὑμῶν<br>κριταὶ ἔσονται. |
| **Mt12:28** εἰ δὲ ἐν πνεύματι θεοῦ<br>ἐγὼ ἐκβάλλω τὰ δαιμόνια,<br>ἄρα ἔφθασεν ἐφ' ὑμᾶς<br>ἡ βασιλεία τοῦ θεοῦ. | | **Lk11:20** εἰ δὲ ἐν δακτύλῳ θεοῦ<br>[ἐγὼ] ἐκβάλλω τὰ δαιμόνια,<br>ἄρα ἔφθασεν ἐφ' ὑμᾶς<br>ἡ βασιλεία τοῦ θεοῦ. |
| **Mt12:29** ἢ πῶς δύναταί τις<br>εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ<br>ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ<br>ἁρπάσαι, ἐὰν<br>μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν;<br>καὶ τότε τὴν οἰκίαν αὐτοῦ<br>διαρπάσει. | **Mk3:27** ἀλλ' οὐ δύναται οὐδεὶς<br>εἰς τὴν οἰκίαν τοῦ<br>ἰσχυροῦ εἰσελθὼν τὰ σκεύη αὐτοῦ<br>διαρπάσαι, ἐὰν<br>μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ,<br>καὶ τότε τὴν οἰκίαν αὐτοῦ<br>διαρπάσει. | **Lk11:21** ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶν τὰ ὑπάρχοντα αὐτοῦ·<br>**Lk11:22** ἐπὰν δὲ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ' ᾗ ἐπεποίθει καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν. |

**Th35** (1) Λέγει Ἰησοῦς· οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ βιάζεσθαι αὐτὸν εἰ μὴ δήσῃ τὰς χεῖρας αὐτοῦ. (2) τότε τὴν οἰκίαν αὐτοῦ μεταθήσει.

| | | |
|---|---|---|
| **Mt12:30** ὁ μὴ ὢν μετ' ἐμοῦ<br>κατ' ἐμοῦ ἐστιν, | | **Lk11:23** ὁ μὴ ὢν μετ' ἐμοῦ<br>κατ' ἐμοῦ ἐστιν, |

| | | |
|---|---|---|
| καὶ ὁ μὴ συνάγων μετ’ ἐμοῦ σκορπίζει. | | καὶ ὁ μὴ συνάγων μετ’ ἐμοῦ σκορπίζει. |

## No. 43 *[118a. 197].* The Sin against the Holy Spirit / 聖霊への罪

| Mt 12:31-32 | Mk 3:28-30 | Lk 12:10 |
|---|---|---|
| **Mt12:31** Διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, | **Mk3:28** ’Αμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τοῖς υἱοῖς τῶν ἀνθρώπων τὰ ἁμαρτήματα καὶ αἱ βλασφημίαι ὅσα ἐὰν βλασφημήσωσιν˙ | |
| ἡ δὲ τοῦ πνεύματος βλασφημία οὐκ ἀφεθήσεται. | | |
| **Mt12:32** καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ˙ | | **Lk12:10** καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ˙ |
| ὃς δ’ ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, | **Mk3:29** ὃς δ’ ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον, | τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι |
| οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. | οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλὰ ἔνοχός ἐστιν αἰωνίου ἁμαρτήματος. | οὐκ ἀφεθήσεται. |
| | **Mk3:30** ὅτι ἔλεγον, Πνεῦμα ἀκάθαρτον ἔχει. | |

**Th44** (1) Λέγει ’Ιησοῦς˙ ὃς ἂν βλασφημήσῃ εἰς τὸν πατέρα, ἀφεθήσεται αὐτῷ. (2) καὶ ὃς ἂν βλασφημήσῃ εἰς τὸν υἱόν, ἀφεθήσεται αὐτῷ. (3) ὃς δ’ ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐπὶ τῆς γῆς οὔτε ἐν τῷ οὐρανῷ.

## No. 44 *[116. 121. 135].* Jesus' Kindred / イエスの親族

| Mt 12:46-50 | Mk 3:20-21; 31-35 | Lk 8:19-21 |
|---|---|---|
| | **Mk3:20** Καὶ ἔρχεται εἰς οἶκον˙ καὶ συνέρχεται πάλιν [ὁ] ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μηδὲ ἄρτον | |

| | | |
|---|---|---|
| | φαγεῖν.<br>**Mk3:21** καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν˙ ἔλεγον γὰρ ὅτι ἐξέστη.<br>---------- | |
| **Mt12:46** Ἔτι αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω ζητοῦντες αὐτῷ λαλῆσαι. | **Mk3:31** Καὶ ἔρχεται ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ἔξω στήκοντες ἀπέστειλαν πρὸς αὐτὸν καλοῦντες αὐτόν. | **Lk8:19** Παρεγένετο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. |
| **Mt12:47** [εἶπεν δέ τις αὐτῷ, Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν ζητοῦντές σοι λαλῆσαι.] | **Mk3:32** καὶ ἐκάθητο περὶ αὐτὸν ὄχλος, καὶ λέγουσιν αὐτῷ, Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου [καὶ αἱ ἀδελφαί σου] ἔξω ζητοῦσίν σε. | **Lk8:20** ἀπηγγέλη δὲ αὐτῷ, Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν θέλοντές σε. |
| **Mt12:48** ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ λέγοντι αὐτῷ, Τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; | **Mk3:33** καὶ ἀποκριθεὶς αὐτοῖς λέγει, Τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί [μου]; | **Lk8:21** ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς, |
| **Mt12:49** καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν, Ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. | **Mk3:34** καὶ περιβλεψάμενος τοὺς περὶ αὐτὸν κύκλῳ καθημένους λέγει, Ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. | |
| **Mt12:50** ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. | **Mk3:35** ὃς [γὰρ] ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. | Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες. |
| ----------<br>***Mt7:21*** *Οὐ πᾶς ὁ λέγων μοι, Κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.* | | |

**Jh15:14** ὑμεῖς φίλοι μού ἐστε ἐὰν ποιῆτε ἃ ἐγὼ ἐντέλλομαι ὑμῖν.

**Th99** (1) Εἶπον οἱ μαθηταὶ αὐτῷ˙ οἱ ἀδελφοί σου καὶ ἡ μήτηρ σου ἑστήκασιν ἔξω. (2) εἶπεν αὐτοῖς˙ οἵδε οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου, οὗτοί εἰσιν οἱ ἀδελφοί μου καὶ ἡ μήτηρ μου. (3) αὐτοὶ εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ πατρός μου.

## No. 45 *[122]*. The Parable of the Sower / 種蒔きの譬

| Mt 13:1-9 | Mk 4:1-9 | Lk 8:4-8 |
|---|---|---|
| Mt13:1 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν˙ | Mk4:1 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν˙ | Lk8:4a Συνιόντος δὲ ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν... |
| Mt13:2 καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί, | καὶ συνάγεται πρὸς αὐτὸν ὄχλος πλεῖστος, | ---------- |
| | | ***Lk5:1*** *Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ καὶ ἀκούειν τὸν λόγον τοῦ θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ* ***Lk5:2*** *καὶ εἶδεν δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην˙ οἱ δὲ ἁλιεῖς ἀπ' αὐτῶν ἀποβάντες ἔπλυνον τὰ δίκτυα.* |
| ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι, καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. | ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι ἐν τῇ θαλάσσῃ, καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦσαν. | ***Lk5:3*** *ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον, καθίσας δὲ ἐκ τοῦ πλοίου ἐδίδασκεν τοὺς ὄχλους.* |
| Mt13:3 καὶ ἐλάλησεν αὐτοῖς πολλὰ | Mk4:2 καὶ ἐδίδασκεν αὐτοὺς | ---------- |
| ἐν παραβολαῖς λέγων, | ἐν παραβολαῖς πολλά καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ, | Lk8:4b....εἶπεν διὰ παραβολῆς˙ |
| Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν. | Mk4:3 Ἀκούετε. ἰδοὺ ἐξῆλθεν ὁ σπείρων σπεῖραι. | Lk8:5 Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. |
| Mt13:4 καὶ ἐν τῷ σπείρειν αὐτὸν ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ ἐλθόντα τὰ πετεινὰ κατέφαγεν αὐτά. | Mk4:4 καὶ ἐγένετο ἐν τῷ σπείρειν ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ ἦλθεν τὰ πετεινὰ καὶ κατέφαγεν αὐτό. | καὶ ἐν τῷ σπείρειν αὐτὸν ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. |
| Mt13:5 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη ὅπου οὐκ εἶχεν γῆν πολλήν, καὶ εὐθέως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς˙ | Mk4:5 καὶ ἄλλο ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχεν γῆν πολλήν, καὶ εὐθὺς ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς˙ | Lk8:6 καὶ ἕτερον κατέπεσεν ἐπὶ τὴν πέτραν, |
| Mt13:6 ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. | Mk4:6 καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. | καὶ φυὲν ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα. |
| Mt13:7 ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς | Mk4:7 καὶ ἄλλο ἔπεσεν εἰς τὰς | Lk8:7 καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ |

| | | |
|---|---|---|
| ἀκάνθας, καὶ ἀνέβησαν | ἀκάνθας, καὶ ἀνέβησαν | τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι |
| αἱ ἄκανθαι καὶ ἔπνιξαν αὐτά. | αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτό, | αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. |
| | καὶ καρπὸν οὐκ ἔδωκεν. | |
| **Mt13:8** ἄλλα δὲ ἔπεσεν ἐπὶ | **Mk4:8** καὶ ἄλλα ἔπεσεν εἰς | **Lk8:8** καὶ ἕτερον ἔπεσεν εἰς |
| τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπόν, | τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου | τὴν γῆν τὴν ἀγαθήν καὶ φυὲν |
| ὃ μὲν ἑκατόν, | καρπὸν ἀναβαίνοντα καὶ αὐξανόμενα | ἐποίησεν καρπὸν |
| ὃ δὲ ἑξήκοντα, | καὶ ἔφερεν ἓν τριάκοντα | ἑκατονταπλασίονα. |
| ὃ δὲ τριάκοντα. | καὶ ἓν ἑξήκοντα | |
| | καὶ ἓν ἑκατόν. | |
| | **Mk4:9** καὶ ἔλεγεν, | ταῦτα λέγων ἐφώνει, |
| **Mt13:9** ὁ ἔχων ὦτα ἀκουέτω. | Ὃς ἔχει ὦτα ἀκούειν ἀκουέτω. | Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. |
| ---------- | ---------- | ---------- |
| ***Mt11:15*** *ὁ ἔχων ὦτα ἀκουέτω.* | | |
| ---------- | | |
| ***Mt13:43*** *ὁ ἔχων ὦτα ἀκουέτω.* | | |
| ---------- | | |
| | ***Mk4:23*** *εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω.* | |
| | | ***Lk14:35b*** *Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.* |

**Th9** (1) Λέγει Ἰησοῦς· ἰδοὺ ἐξῆλωθεν ὁ σπείρων (καὶ) ἔπλησεν τὴν χεῖρα αὐτοῦ (καὶ) ἐξέβαλεν. (2) ἃ μὲν ἔπεσεν ἐπὶ τὴν ὁδόν, (καὶ) ἦλθεν τὰ πετεινὰ (καὶ) συνέλεξεν αὐτά. (3) ἄλλα ἔπεσεν ἐπὶ τὴν πέτραν καὶ οὐκ ἔβαλεν ῥίζαν εἰς τὴν γῆν οὐδὲ ἀνέπεμψεν στάχυν εἰς τὸν οὐρανόν. (4) καὶ ἄλλα ἔπεσεν εἰς τὰς ἀκάνθας, (καὶ) ἀπέπνιξαν τὸν σπόρον καὶ ὁ σκώληξ ἔφαγεν αὐτά. (5) καὶ ἄλλα ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθήν, καὶ ἔδωκεν καρπὸν ἀγαθὸν εἰς τὸν οὐρανόν. ἔφερεν ἑξήκοντα κατ' ἄρουραν καὶ ἑκατὸν εἴκοσι κατ' ἄρουραν.

**Th8** (4) = **Th21** (11) = **Th63** (4) = **Th96** (3) ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

**Th24** (2) = **Th65** (8) ὁ ἔχων ὦτα ἀκουέτω.

## No. 46 *[123]*. The Reason for Speaking in Parables / 譬で語る意義

| Mt 13:10-15 | Mk 4:10-12 | Lk 8:9-10 |
|---|---|---|
| **Mt13:10** Καὶ προσελθόντες οἱ | **Mk4:10** Καὶ ὅτε ἐγένετο κατὰ | **Lk8:9** Ἐπηρώτων δὲ αὐτὸν οἱ |
| μαθηταὶ εἶπαν αὐτῷ, Διὰ τί ἐν | μόνας, ἠρώτων αὐτὸν οἱ περὶ αὐτὸν | μαθηταὶ αὐτοῦ τίς αὕτη εἴη |
| παραβολαῖς λαλεῖς αὐτοῖς; | σὺν τοῖς δώδεκα τὰς παραβολάς. | ἡ παραβολή. |
| **Mt13:11** ὁ δὲ ἀποκριθεὶς εἶπεν | **Mk4:11** καὶ ἔλεγεν | **Lk8:10a** ὁ δὲ εἶπεν, |
| αὐτοῖς, | αὐτοῖς, | |
| ὅτι ὑμῖν δέδοται | Ὑμῖν τὸ μυστήριον δέδοται | Ὑμῖν δέδοται |
| γνῶναι τὰ μυστήρια | | γνῶναι τὰ μυστήρια |

τῆς βασιλείας τῶν οὐρανῶν,
ἐκείνοις δὲ οὐ δέδοται.

τῆς βασιλείας τοῦ θεοῦ·
ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς*
τὰ πάντα γίνεται,

τῆς βασιλείας τοῦ θεοῦ,
τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς* ,

* Cf. Mt 13:13.

**Th62** (1) Λέγει Ἰησοῦς· λέγω τὰ μυστήριά μου τοῖς τῶν μυστηρίων [μου ἀξίοις]. (2) ὅ τι ἂν ποιήσῃ ἡ δεξιά σου μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ. *((2) = Mt6:3)*

----------

----------

**Mt13:12** ὅστις γὰρ ἔχει,
δοθήσεται αὐτῷ
καὶ περισσευθήσεται·
ὅστις δὲ οὐκ ἔχει,
καὶ ὃ ἔχει ἀρθήσεται
ἀπ’ αὐτοῦ.

***Mk4:25*** *ὃς γὰρ ἔχει,*
*δοθήσεται αὐτῷ·*
*καὶ ὃς οὐκ ἔχει,*
*καὶ ὃ ἔχει ἀρθήσεται*
*ἀπ’ αὐτοῦ.*

***Lk8:18b*** *ὃς ἂν γὰρ ἔχῃ,*
*δοθήσεται αὐτῷ,*
Cf. No. 51.
*καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται*
*ἀπ’ αὐτοῦ.*

**Th41** (1) Λέγει Ἰησοῦς· ὅστις ἔχει ἐν τῇ χειρὶ αὐτοῦ, δοθήσεται αὐτῷ. (2) καὶ ὅστις οὐκ ἔχει, καὶ τὸ μικρὸν ὃ ἔχει ἀρθήσεται ἀπ’ αὐτοῦ.

**Th70*** (1) Jesus says: "If you bring it into being within you, (then) that which you have will save you. (2) If you do not have it within you, (then) that which you do not have whthin you [will] kill you."

*(*no Greek retranslation available in Aland's Synopsis)*

**Mt13:13** διὰ τοῦτο ἐν παραβολαῖς*
αὐτοῖς λαλῶ,
ὅτι βλέποντες
οὐ βλέπουσιν
καὶ ἀκούοντες
οὐκ ἀκούουσιν οὐδὲ συνίουσιν,
**Mt13:14** καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἠσαΐου ἡ λέγουσα,
Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε,
καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε.
**Mt13:15** ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου,
καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν
καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν,
μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς
καὶ τοῖς ὠσὶν ἀκούσωσιν
καὶ τῇ καρδίᾳ συνῶσιν
καὶ ἐπιστρέψωσιν
καὶ ἰάσομαι αὐτούς.

* Cf. Mt 4:11/Lk8:10a

**Mk4:12** ἵνα βλέποντες βλέπωσιν
καὶ μὴ ἴδωσιν,
καὶ ἀκούοντες ἀκούωσιν
καὶ μὴ συνιῶσιν,
μήποτε ἐπιστρέψωσιν
καὶ ἀφεθῇ αὐτοῖς.

----------

----------

**Lk8:10b** ἵνα βλέποντες
μὴ βλέπωσιν
καὶ ἀκούοντες
μὴ συνιῶσιν.

**Jh12:39** διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἠσαΐας, **Jh12:40** Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ καὶ στραφῶσιν, καὶ ἰάσομαι αὐτούς.

| | | |
|---|---|---|
| | *Mk8:18 ὀφθαλμοὺς ἔχοντες* | |
| | *οὐ βλέπετε* | |
| | *καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε;* | |

## No. 47 *[124].* Interpretation of the Parable of the Sower / 「種蒔きの譬」の解釈

| Mt 13:18-23 | Mk 4:13-20 | Lk 8:11-15 |
|---|---|---|
| Mt13:18 Ὑμεῖς οὖν | Mt4:13 Καὶ λέγει αὐτοῖς, Οὐκ | Lk8:11 Ἔστιν δὲ αὕτη |
| ἀκούσατε τὴν παραβολὴν | οἴδατε τὴν παραβολὴν ταύτην, καὶ | ἡ παραβολή· |
| | πῶς πάσας τὰς παραβολὰς γνώσεσθε; | |
| τοῦ σπείραντος. | Mk4:14 ὁ σπείρων τὸν λόγον | Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ. |
| | σπείρει. | |
| | Mk4:15 οὗτοι δέ εἰσιν οἱ παρὰ | Lk8:12 οἱ δὲ παρὰ |
| | τὴν ὁδόν· ὅπου σπείρεται ὁ | τὴν ὁδόν εἰσιν |
| Mt13:19 παντὸς ἀκούοντος τὸν | λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθὺς | οἱ ἀκούσαντες, εἶτα |
| λόγον τῆς βασιλείας καὶ μὴ | | |
| συνιέντος ἔρχεται ὁ πονηρὸς | ἔρχεται ὁ Σατανᾶς | ἔρχεται ὁ διάβολος |
| καὶ ἁρπάζει | καὶ αἴρει τὸν λόγον | καὶ αἴρει τὸν λόγον |
| τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ, | τὸν ἐσπαρμένον εἰς αὐτούς. | ἀπὸ τῆς καρδίας αὐτῶν, |
| | | ἵνα μὴ πιστεύσαντες σωθῶσιν. |
| οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν | | |
| σπαρείς. | | |
| Mt13:20 ὁ δὲ ἐπὶ τὰ | Mk4:16 καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὰ | Lk8:13 οἱ δὲ ἐπι τῆς |
| πετρώδη σπαρείς, οὗτός ἐστιν | πετρώδη σπειρόμενοι, | πέτρας |
| ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς | οἳ ὅταν ἀκούσωσιν τὸν λόγον εὐθὺς | οἳ ὅταν ἀκούσωσιν |
| μετὰ χαρᾶς λαμβάνων αὐτόν, | μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν, | μετὰ χαρᾶς δέχονται τὸν λόγον, |
| Mt13:21 οὐκ ἔχει δὲ ῥίζαν ἐν | Mk4:17 καὶ οὐκ ἔχουσιν ῥίζαν ἐν | καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, |
| ἑαυτῷ ἀλλὰ πρόσκαιρός ἐστιν, | ἑαυτοῖς ἀλλὰ πρόσκαιροί εἰσιν, | οἳ πρὸς καιρὸν πιστεύουσιν |
| γενομένης δὲ θλίψεως ἢ | εἶτα γενομένης θλίψεως ἢ | καὶ ἐν καιρῷ πειρασμοῦ |
| διωγμοῦ διὰ τὸν λόγον | διωγμοῦ διὰ τὸν λόγον | ἀφίστανται. |
| εὐθὺς σκανδαλίζεται. | εὐθὺς σκανδαλίζονται. | |
| Mt13:22 ὁ δὲ εἰς | Mk4:18 καὶ ἄλλοι εἰσὶν οἱ εἰς | Lk8:14 τὸ δὲ εἰς |
| τὰς ἀκάνθας σπαρείς, οὗτός | τὰς ἀκάνθας σπειρόμενοι· οὗτοί | τὰς ἀκάνθας πεσόν, οὗτοί |
| ἐστιν ὁ τὸν λόγον ἀκούων, | εἰσιν οἱ τὸν λόγον ἀκούσαντες, | εἰσιν οἱ ἀκούσαντες, |
| καὶ ἡ μέριμνα τοῦ | Mk4:19 καὶ αἱ μέριμναι τοῦ | καὶ ὑπὸ μεριμνῶν |
| αἰῶνος καὶ ἡ ἀπάτη τοῦ πλούτου | αἰῶνος καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ | καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου |
| | αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι | |
| συμπνίγει | εἰσπορευόμεναι συμπνίγουσιν | πορευόμενοι συμπνίγονται |

| | | |
|---|---|---|
| τὸν λόγον καὶ ἄκαρπος γίνεται. | τὸν λόγον καὶ ἄκαρπος γίνεται. | καὶ οὐ τελεσφοροῦσιν. |
| Mt13:23 ὁ δὲ ἐπὶ | Mk4:20 καὶ ἐκεῖνοί εἰσιν οἱ ἐπὶ | Lk8:15 τὸ δὲ ἐν τῇ |
| τὴν καλὴν γῆν σπαρείς, | τὴν γῆν τὴν καλὴν σπαρέντες, | καλῇ γῇ, |
| οὗτός ἐστιν | οἵτινες | οὗτοί εἰσιν οἵτινες ἐν |
| ὁ τὸν λόγον ἀκούων | ἀκούουσιν | καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες |
| καὶ συνιείς, | τὸν λόγον καὶ παραδέχονται | τὸν λόγον κατέχουσιν |
| ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ | καὶ καρποφοροῦσιν | καὶ καρποφοροῦσιν |
| ὃ μὲν ἑκατόν, | ἓν τριάκοντα | |
| ὃ δὲ ἑξήκοντα, | καὶ ἓν ἑξήκοντα | |
| ὃ δὲ τριάκοντα. | καὶ ἓν ἑκατόν. | |
| | | ἐν ὑπομονῇ. |

## No. 48 *[53a. 125a. 192].* Lamp / ともし火

| Mt 5:15 | Mk 4:21 | Lk 8:16 | Lk 11:33 |
|---|---|---|---|
| | Mk4:21 Καὶ ἔλεγεν αὐτοῖς, | Lk8:16 Οὐδεὶς δὲ | Lk11:33 Οὐδεὶς |
| Mt5:15 οὐδὲ καίουσιν λύχνον | Μήτι ἔρχεται ὁ λύχνος | λύχνον ἅψας | λύχνον ἅψας |
| καὶ τιθέασιν αὐτὸν | | καλύπτει αὐτὸν | εἰς κρύπτην τίθησιν |
| ὑπὸ τὸν μόδιον | ἵνα ὑπὸ τὸν μόδιον τεθῇ | σκεύει | [οὐδὲ ὑπὸ τὸν μόδιον] |
| | ἢ ὑπὸ τὴν κλίνην; | ἢ ὑποκάτω κλίνης | |
| | | τίθησιν, | |
| ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, | οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν | ἀλλ᾽ ἐπὶ λυχνίας | ἀλλ᾽ ἐπὶ τὴν |
| | τεθῇ; | τίθησιν, | λυχνίαν , |
| καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ | | ἵνα οἱ | ἵνα οἱ |
| οἰκίᾳ. | | εἰσπορευόμενοι | εἰσπορευόμενοι τὸ |
| | | βλέπωσιν τὸ φως. | φῶς βλέπωσιν. |

Th33 (2) Οὐδεὶς γὰρ λύχνον ἅψας τίθησιν ὑπὸ τὸν μόδιον οὐδὲ εἰς κρύπτην, (3) ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν τίθησιν, ἵνα πάντες οἱ εἰσπορευόμενοι καὶ οἱ ἐκπορευόμενοι βλέπωσιν τὸ φῶς αὐτοῦ.

## No. 49 *[101a. 125b. 196a].* The Hidden Will Be Manifest / 隠れて現れざるなし

| Mt 10:26 | Mk 4:22-23 | Lk 8:17 | Lk 12:2 |
|---|---|---|---|
| Mt10:26 Μὴ οὖν | | | |
| φοβηθῆτε αὐτούς˙ | | | |
| οὐδὲν γάρ ἐστιν | Mk4:22 οὐ γάρ ἐστιν | Lk8:17 οὐ γάρ ἐστιν | Lk12:2 οὐδὲν δὲ |

| | | | |
|---|---|---|---|
| κεκαλυμμένον<br><br>ὃ οὐκ ἀποκαλυφθήσεται<br>καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. | κρυπτὸν ἐὰν μὴ ἵνα φανερωθῇ,<br>οὐδὲ ἐγένετο ἀπόκρυφον<br><br>ἀλλ' ἵνα ἔλθῃ εἰς φανερόν. | κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται<br>οὐδὲ ἀπόκρυφον<br>ὃ οὐ μὴ γνωσθῇ<br>καὶ εἰς φανερὸν ἔλθῃ. | συγκεκαλυμμένον ἐστὶν<br><br>ὃ οὐκ ἀποκαλυφθήσεται<br>καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. |

**Th5** (1) λέγει Ἰησοῦς· γνῶθι τὸ ὂν ἔμπροσθεν τῆς ὄψεώς σου, καὶ τὸ κεκαλυμμένον ἀπό σου ἀποκαλυφθήσεταί σοι· (2) οὐ γάρ ἐστιν κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται.

**POxy 654, 27-31** λέγει Ἰη(σοῦ)ς· γ[νῶθι τὸ ὂν ἔμπροσ]θεν τῆς ὄψεώς σου, καὶ [τὸ κεκαλυμμένονΝὸ ἀπό σου ἀποκαλυφ<θ>ήσετ[αί σοι· οὐ γάρ ἐσ]τιν κρυπτὸν ὃ οὐ φανε[ρὸν γενήσεται] , καὶ θεθαμμένον ὃ ο[ὐκ ἐγερθήσονται.]

**Th6** (4) ὅτι πάντα ἔμπροσθεν <τῆς ἀληθείας> ἀνακεκαλυμμένον ἐστίν. (5) οὐδὲν γάρ ἐστιν ἀνακεκαλυμμένον ὃ οὐ γνωσθήσεται. (6) καὶ οὐδὲν κεκαλυμμένον μενεῖ οὐκ ἀνακεκαλυμμένον.

| | | | |
|---|---|---|---|
| | **Mk4:23** εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω. | As for Mk4:23, cf. Mk4:9 (No.45 [122]). | |

## No. 50 *[68a. 81a. 125c].* With the Measure You Weigh / 己が量る秤にて （Cf. No. 31）

| Mt 7:2b | Mk 4:24 | Lk 8:18a; 6:38 |
|---|---|---|
| | **Mk4:24** Καὶ ἔλεγεν αὐτοῖς, Βλέπετε τί ἀκούετε. | **Lk8:18a** βλέπετε οὖν πῶς ἀκούετε·<br>---------- |
| ***Mt 7:1*** *Μὴ κρίνετε,*<br>*ἵνα μὴ κριθῆτε·*<br>***Mt7:2a*** *ἐν ᾧ γὰρ κρίματι κρίνετε κριθήσεσθε,* | | ***Lk 6:37*** *Καὶ μὴ κρίνετε,*<br>*καὶ οὐ μὴ κριθῆτε·*<br>*καὶ μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε. ἀπολύετε, καὶ ἀπολυθήσεσθε·*<br>**Lk6:38** δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν πεπιεσμένον σεσαλευμένον ὑπερεκχυννόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· |
| **Mt7:2b**<br>καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν. | ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν καὶ προστεθήσεται ὑμῖν. | ᾧ γὰρ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν. |

## No. 51 *[123b. 125d. 266d].* Those Who Have and Have Not / 持てる者と持たざる者

| Mt 13:12 ; 25:29 | Mk 4:25 | Lk 8:18b; 19:26 |
|---|---|---|
| **Mt13:12** ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. | **Mk4:25** ὃς γὰρ ἔχει, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. | **Lk8:18b** ὃς ἂν γὰρ ἔχῃ, δοθήσεται αὐτῷ, καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ. |
| ---------- | | ---------- |
| **Mt25:29** τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται, τοῦ δὲ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. | Cf. No. 139 (Mt25:29/Lk19:26). | **Lk19:26** λέγω ὑμῖν ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται. |

**Th41** (1) Λέγει Ἰησοῦς· ὅστις ἔχει ἐν τῇ χειρὶ αὐτοῦ, δοθήσεται αὐτῷ. (2) καὶ ὅστις οὐκ ἔχει, καὶ τὸ μικρὸν ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

## No. 52 *[128. 209].* The Parable of the Mustard Seed / 芥子種の譬

| Mt 13:31-32 | Mk 4:30-32 | Lk 13:18-19 |
|---|---|---|
| | ***Mk 4:26*** *Καὶ ἔλεγεν· οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ὡς ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς* ***Mk 4:27*** *καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστᾷ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός.* ***Mk 4:28*** *αὐτομάτη ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον εἶτα στάχυν εἶτα πλήρη[ς] σῖτον ἐν τῷ στάχυϊ.* ***Mk 4:29*** *ὅταν δὲ παραδοῖ ὁ καρπός, εὐθὺς ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.* | **Th21** (9) γένοιτο ἐν μέσῳ ὑμῶν ἄνθρωπος ἐπιστήμων. (10) ὅτε ἤκμασεν ὁ καρπός, ἦλθεν ταχέως τοῦ δρεπάνου αὐτοῦ ὄντος ἐν τῇ χειρὶ αὐτοῦ· ἐθέρισεν αὐτόν. (11) ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. |

| | | |
|---|---|---|
| **Mt13:31** Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν | **Mk4:30** Καὶ ἔλεγεν, Πῶς ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ ἢ ἐν τίνι αὐτὴν παραβολῇ θῶμεν; | **Lk13:18** Ἔλεγεν οὖν, Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ καὶ τίνι ὁμοιώσω αὐτήν; |
| κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ· | **Mk4:31** ὡς κόκκῳ σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, | **Lk13:19** ὁμοία ἐστὶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ, |
| **Mt13:32** ὃ μικρότερον μέν ἐστιν πάντων τῶν σπερμάτων, | μικρότερον ὂν πάντων τῶν σπερμάτων τῶν ἐπὶ τῆς γῆς, | |
| ὅταν δὲ αὐξηθῇ μεῖζον τῶν λαχάνων ἐστὶν καὶ γίνεται δένδρον, | **Mk4:32** καὶ ὅταν σπαρῇ, ἀναβαίνει καὶ γίνεται μεῖζον πάντων τῶν λαχάνων καὶ ποιεῖ κλάδους μεγάλους, | καὶ ηὔξησεν καὶ ἐγένετο εἰς δένδρον, |
| ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. | ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν. | καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ. |

**Th20** (1) Λέγουσιν οἱ μαθηταὶ τῷ Ἰησοῦ· εἰπὲ ἡμῖν, τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. (2) εἶπεν αὐτοῖς· ὁμοία ἐστὶν κόκκῳ σινάπεως. (3) μικρὸς ἐστιν παρὰ πάντα τὰ σπέρματα. (4) ὅταν δὲ πέσῃ ἐπὶ τὴν γῆν τὴν ἐργαζομένην, τοιεῖ κλάδον μέγαν καὶ γίνεται σκέπη τοῖς πετεινοῖς τοῦ οὐρανοῦ.

| | | |
|---|---|---|
| ***Mt13:33*** *Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς·* | | ***Lk13:20*** *Καὶ πάλιν εἶπεν,* |
| *Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν* | | *Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ θεοῦ;* |
| | | ***Lk13:21*** *ὁμοία ἐστὶν* |
| *ζύμῃ ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον.* | | *ζύμῃ, ἣν λαβοῦσα γυνὴ [ἐν]έκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον.* |

## No. 53 *[130].* Jesus' Use of Parables / 譬による語り

| Mt 13:34-35 | Mk 4:33-34 | Lk |
|---|---|---|

| | | |
|---|---|---|
| Mt13:34 Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις<br><br>καὶ χωρὶς παραβολῆς οὐδὲν ἐλάλει αὐτοῖς,<br><br>Mt13:35 ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος,<br>'Ανοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς [κόσμου]. | Mk4:33 Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον καθὼς ἠδύναντο ἀκούειν·<br>Mk4:34 χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατ' ἰδίαν δὲ τοῖς ἰδίοις μαθηταῖς ἐπέλυεν πάντα. | |

## No. 54 *[90. 136]*. Stilling the Storm / 嵐鎮め

| Mt 8:23-27 | Mk 4:35-41 | Lk 8:22-25 |
|---|---|---|
| ***Mt8:18*** *Ἰδὼν δὲ ὁ Ἰησοῦς ὄχλον περὶ αὐτὸν ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.* | Mk4:35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης, Διέλθωμεν εἰς τὸ πέραν. | |
| ----------<br>Mt8:23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. | Mk4:36 καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ, καὶ ἄλλα πλοῖα ἦν μετ' αὐτοῦ. | Lk8:22 Ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ εἶπεν πρὸς αὐτούς, Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης, καὶ ἀνήχθησαν.<br>Lk8:23 πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν. |
| Mt8:24 καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων,<br>αὐτὸς δὲ<br>ἐκάθευδεν. | Mk4:37 καὶ γίνεται λαῖλαψ μεγάλη ἀνέμου, καὶ τὰ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε ἤδη γεμίζεσθαι τὸ πλοῖον.<br>Mk4:38 καὶ αὐτὸς ἦν ἐν τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων. | καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον. |
| Mt8:25 καὶ προσελθόντες ἤγειραν αὐτὸν λέγοντες,<br><br>Κύριε, σῶσον, ἀπολλύμεθα. | καὶ ἐγείρουσιν αὐτὸν καὶ λέγουσιν αὐτῷ,<br>Διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; | Lk8:24 προσελθόντες δὲ διήγειραν αὐτὸν λέγοντες,<br><br>Ἐπιστάτα ἐπιστάτα, ἀπολλύμεθα. |
| Mt8:26 καὶ λέγει αὐτοῖς, Τί δειλοί ἐστε, ὀλιγόπιστοι; τότε ἐγερθεὶς ἐπετίμησεν | Mk4:39 καὶ διεγερθεὶς ἐπετίμησεν | ὁ δὲ διεγερθεὶς ἐπετίμησεν |

| | | |
|---|---|---|
| τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ,<br><br>καὶ ἐγένετο γαλήνη μεγάλη. | τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ,<br>Σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ<br>ἄνεμος καὶ ἐγένετο γαλήνη μεγάλη. | τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ<br>ὕδατος· καὶ ἐπαύσαντο<br>καὶ ἐγένετο γαλήνη. |
| | **Mk4:40** καὶ εἶπεν αὐτοῖς,<br>Τί δειλοί ἐστε; οὔπω ἔχετε πίστιν; | **Lk8:25** εἶπεν δὲ αὐτοῖς,<br>Ποῦ ἡ πίστις ὑμῶν; |
| **Mt8:27** οἱ δὲ ἄνθρωποι ἐθαύμασαν<br>λέγοντες,<br>Ποταπός ἐστιν οὗτος<br>ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα<br>αὐτῷ ὑπακούουσιν; | **Mk4:41** καὶ ἐφοβήθησαν φόβον<br>μέγαν καὶ ἔλεγον πρὸς ἀλλήλους,<br>Τίς ἄρα οὗτός ἐστιν<br>ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα<br>ὑπακούει αὐτῷ; | φοβηθέντες δὲ ἐθαύμασαν<br>λέγοντες πρὸς ἀλλήλους,<br>Τίς ἄρα οὗτός ἐστιν<br>ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ<br>τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; |

## No. 55 *[91. 137].* The Demoniac and the Herd of Swine / 豚の群に入る悪霊

| Mt 8:28-34 | Mk 5:1-20 | Lk 8:26-39 |
|---|---|---|
| **Mt8:28** Καὶ ἐλθόντος αὐτοῦ<br>εἰς τὸ πέραν<br>εἰς τὴν χώραν τῶν Γαδαρηνῶν | **Mk5:1** Καὶ ἦλθον<br>εἰς τὸ πέραν τῆς θαλάσσης<br>εἰς τὴν χώραν τῶν Γερασηνῶν. | **Lk8:26** Καὶ κατέπλευσαν<br><br>εἰς τὴν χώραν τῶν Γερασηνῶν,<br>ἥτις ἐστὶν ἀντιπέρα τῆς Γαλιλαίας. |
| ὑπήντησαν αὐτῷ δύο<br>δαιμονιζόμενοι<br>ἐκ τῶν μνημείων ἐξερχόμενοι, | **Mk5:2** καὶ ἐξελθόντος αὐτοῦ ἐκ τοῦ<br>πλοίου εὐθὺς ὑπήντησεν αὐτῷ<br>ἐκ τῶν μνημείων ἄνθρωπος ἐν<br>πνεύματι ἀκαθάρτῳ, | **Lk8:27** ἐξελθόντι δὲ αὐτῷ ἐπὶ<br>τὴν γῆν ὑπήντησεν<br>ἀνήρ τις ἐκ τῆς πόλεως ἔχων<br>δαιμόνια καὶ χρόνῳ ἱκανῷ οὐκ |
| | **Mk5:3** ὃς τὴν κατοίκησιν<br>εἶχεν ἐν τοῖς μνήμασιν, καὶ οὐδὲ<br>ἁλύσει οὐκέτι οὐδεὶς ἐδύνατο αὐτὸν<br>δῆσαι | ἐνεδύσατο ἱμάτιον καὶ ἐν οἰκίᾳ οὐκ<br>ἔμενεν ἀλλ' ἐν τοῖς μνήμασιν.<br>----------<br>**Lk8:29b** πολλοῖς γὰρ χρόνοις |
| χαλεποὶ λίαν,<br><br><br><br>ὥστε μὴ<br>ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ<br>ἐκείνης. | **Mk5:4** διὰ τὸ αὐτὸν πολλάκις<br>πέδαις καὶ ἁλύσεσιν δεδέσθαι καὶ<br>διεσπάσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις<br>καὶ τὰς πέδας συντετρῖφθαι, καὶ<br>οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι· | συνηρπάκει αὐτόν καὶ ἐδεσμεύετο<br>ἁλύσεσιν καὶ πέδαις φυλασσόμενος<br>καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο<br>ὑπὸ τοῦ δαιμονίου εἰς τὰς ἐρήμους.<br>---------- |
| | **Mk5:5** καὶ διὰ παντὸς νυκτὸς καὶ<br>ἡμέρας ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς<br>ὄρεσιν ἦν κράζων καὶ κατακόπτων<br>ἑαυτὸν λίθοις. | |
| **Mt8:29** καὶ ἰδοὺ | **Mk5:6** καὶ ἰδὼν τὸν Ἰησοῦν ἀπὸ<br>μακρόθεν ἔδραμεν<br>καὶ προσεκύνησεν αὐτῷ | **Lk8:28** ἰδὼν δὲ τὸν Ἰησοῦν<br>ἀνακράξας<br>προσέπεσεν αὐτῷ |

| | | |
|---|---|---|
| ἔκραξαν<br>λέγοντες, Τί ἡμῖν καὶ σοί,<br>υἱὲ τοῦ θεοῦ;<br>ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι<br>ἡμᾶς; | **Mk5:7** καὶ κράξας φωνῇ μεγάλῃ<br>λέγει, Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ<br>υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου;<br>ὁρκίζω σε τὸν θεόν,<br>μή με βασανίσῃς. | καὶ φωνῇ μεγάλῃ<br>εἶπεν, Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ<br>υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου;<br>δέομαί σου,<br>μή με βασανίσῃς. |
| | **Mk5:8** ἔλεγεν γὰρ αὐτῷ, Ἔξελθε τὸ<br>πνεῦμα τὸ ἀκάθαρτον ἐκ<br>τοῦ ἀνθρώπου. | **Lk8:29a** παρήγγειλεν γὰρ τῷ<br>πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ<br>τοῦ ἀνθρώπου. |
| | ----------<br>***Mk5:4a*** διὰ τὸ αὐτὸν πολλάκις<br>πέδαις καὶ ἁλύσεσιν δεδέσθαι καὶ<br>διεσπάσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις<br>καὶ τὰς πέδας συντετρῖφθαι,<br>---------- | ***Lk8:29b*** πολλοῖς γὰρ χρόνοις<br>συνηρπάκει αὐτόν καὶ ἐδεσμεύετο<br>ἁλύσεσιν καὶ πέδαις φυλασσόμενος<br>καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο<br>ὑπὸ τοῦ δαιμονίου εἰς τὰς ἐρήμους. |
| | **Mk5:9** καὶ ἐπηρώτα αὐτόν,<br>Τί ὄνομά σοι;<br>καὶ λέγει αὐτῷ,<br>Λεγιὼν ὄνομά μοι, ὅτι πολλοί<br>ἐσμεν. | **Lk8:30** ἐπηρώτησεν δὲ αὐτὸν ὁ<br>Ἰησοῦς,<br>Τί σοι ὄνομά ἐστιν;<br>ὁ δὲ εἶπεν,<br>Λεγιών, ὅτι εἰσῆλθεν<br>δαιμόνια πολλὰ εἰς αὐτόν. |
| | **Mk5:10** καὶ παρεκάλει αὐτὸν πολλὰ<br>ἵνα μὴ αὐτὰ ἀποστείλῃ ἔξω τῆς<br>χώρας. | **Lk8:31** καὶ παρεκάλουν αὐτὸν<br>ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν<br>ἄβυσσον ἀπελθεῖν. |
| **Mt8:30** ἦν δὲ μακρὰν ἀπ' αὐτῶν<br>ἀγέλη χοίρων πολλῶν βοσκομένη. | **Mk5:11** Ἦν δὲ ἐκεῖ πρὸς τῷ ὄρει<br>ἀγέλη χοίρων μεγάλη βοσκομένη· | **Lk8:32** Ἦν δὲ ἐκεῖ<br>ἀγέλη χοίρων ἱκανῶν βοσκομένη ἐν<br>τῷ ὄρει· |
| **Mt8:31** οἱ δὲ δαίμονες<br>παρεκάλουν αὐτὸν λέγοντες,<br>Εἰ ἐκβάλλεις ἡμᾶς,<br>ἀπόστειλον ἡμᾶς εἰς τὴν ἀγέλην τῶν<br>χοίρων. | **Mk5:12** καὶ<br>παρεκάλεσαν αὐτὸν λέγοντες,<br>Πέμψον ἡμᾶς εἰς<br>τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς<br>εἰσέλθωμεν. | καὶ<br>παρεκάλεσαν αὐτὸν<br>ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους<br>εἰσελθεῖν· |
| **Mt8:32** καὶ εἶπεν αὐτοῖς, Ὑπάγετε.<br>οἱ δὲ ἐξελθόντες<br>ἀπῆλθον<br>εἰς τοὺς χοίρους·<br>καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ ἀγέλη<br>κατὰ τοῦ κρημνοῦ<br>εἰς τὴν θάλασσαν<br>καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. | **Mk5:13** καὶ ἐπέτρεψεν αὐτοῖς.<br>καὶ ἐξελθόντα τὰ πνεύματα τὰ<br>ἀκάθαρτα εἰσῆλθον<br>εἰς τοὺς χοίρους,<br>καὶ ὥρμησεν ἡ ἀγέλη<br>κατὰ τοῦ κρημνοῦ<br>εἰς τὴν θάλασσαν, ὡς δισχίλιοι,<br>καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. | καὶ ἐπέτρεψεν αὐτοῖς.<br>**Lk8:33** ἐξελθόντα δὲ τὰ δαιμόνια<br>ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλθον<br>εἰς τοὺς χοίρους,<br>καὶ ὥρμησεν ἡ ἀγέλη<br>κατὰ τοῦ κρημνοῦ<br>εἰς τὴν λίμνην<br>καὶ ἀπεπνίγη. |

| | | |
|---|---|---|
| **Mt8:33** οἱ δὲ βόσκοντες | **Mk5:14** καὶ οἱ βόσκοντες αὐτοὺς | **Lk8:34** ἰδόντες δὲ οἱ βόσκοντες τὸ |
| ἔφυγον, | ἔφυγον | γεγονὸς ἔφυγον |
| καὶ ἀπελθόντες εἰς τὴν πόλιν | καὶ ἀπήγγειλαν | καὶ ἀπήγγειλαν |
| ἀπήγγειλαν πάντα καὶ τὰ τῶν | εἰς τὴν πόλιν καὶ | εἰς τὴν πόλιν καὶ |
| δαιμονιζομένων. | εἰς τοὺς ἀγρούς· | εἰς τοὺς ἀγρούς. |
| **Mt8:34** καὶ ἰδοὺ πᾶσα ἡ πόλις | καὶ ἦλθον ἰδεῖν τί ἐστιν | **Lk8:35** ἐξῆλθον δὲ ἰδεῖν |
| | τὸ γεγονός | τὸ γεγονὸς |
| ἐξῆλθεν εἰς ὑπάντησιν | **Mk5:15** καὶ ἔρχονται | καὶ ἦλθον |
| τῷ Ἰησοῦ, καὶ ἰδόντες | πρὸς τὸν Ἰησοῦν καὶ θεωροῦσιν | πρὸς τὸν Ἰησοῦν καὶ εὗρον |
| | τὸν δαιμονιζόμενον καθήμενον | καθήμενον τὸν ἄνθρωπον ἀφ’ οὗ τὰ |
| | | δαιμόνια ἐξῆλθεν |
| | ἱματισμένον καὶ σωφρονοῦντα, | ἱματισμένον καὶ σωφρονοῦντα |
| | τὸν ἐσχηκότα τὸν λεγιῶνα, | παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, |
| | καὶ ἐφοβήθησαν. | καὶ ἐφοβήθησαν. |
| | **Mk5:16** καὶ διηγήσαντο αὐτοῖς | **Lk8:36** ἀπήγγειλαν δὲ αὐτοῖς |
| | οἱ ἰδόντες πῶς ἐγένετο τῷ | οἱ ἰδόντες πῶς ἐσώθη ὁ |
| | δαιμονιζομένῳ καὶ περὶ τῶν | δαιμονισθείς. |
| | χοίρων. | |
| | **Mk5:17** καὶ ἤρξαντο παρακαλεῖν | **Lk8:37** καὶ ἠρώτησεν |
| αὐτὸν παρεκάλεσαν | αὐτὸν | αὐτὸν ἅπαν τὸ πλῆθος τῆς |
| | ἀπελθεῖν | περιχώρου τῶν Γερασηνῶν |
| ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν. | ἀπὸ τῶν ὁρίων αὐτῶν. | ἀπελθεῖν ἀπ’ αὐτῶν, |
| | | ὅτι φόβῳ μεγάλῳ συνείχοντο· |
| | **Mk5:18** καὶ ἐμβαίνοντος αὐτοῦ | αὐτὸς δὲ ἐμβὰς |
| | εἰς τὸ πλοῖον | εἰς πλοῖον ὑπέστρεψεν. |
| | παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς | **Lk8:38** ἐδεῖτο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ’ |
| | ἵνα μετ’ αὐτοῦ ᾖ. | οὗ ἐξεληλύθει τὰ δαιμόνια εἶναι σὺν |
| | | αὐτῷ· |
| | **Mk5:19** καὶ οὐκ ἀφῆκεν | ἀπέλυσεν δὲ |
| | αὐτόν, ἀλλὰ λέγει αὐτῷ, | αὐτὸν λέγων, |
| | Ὕπαγε | **Lk8:39** Ὑπόστρεφε |
| | εἰς τὸν οἶκόν σου | εἰς τὸν οἶκόν σου |
| | πρὸς τοὺς σούς | |
| | καὶ ἀπάγγειλον | καὶ διηγοῦ |
| | αὐτοῖς ὅσα ὁ κύριός σοι πεποίηκεν | ὅσα σοι ἐποίησεν ὁ |
| | καὶ ἠλέησέν σε. | θεός. |
| | **Mk5:20** καὶ ἀπῆλθεν καὶ ἤρξατο | καὶ ἀπῆλθεν καθ’ ὅλην τὴν πόλιν |
| | κηρύσσειν ἐν τῇ Δεκαπόλει | κηρύσσων |
| | ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, | ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. |
| | καὶ πάντες ἐθαύμαζον. | |

## No. 56 *[95ac. 138ac].* Waking of a Little Girl / 少女の蘇生

| Mt 9:18-19. 23-26 | Mk 5:21-24. 35-43 | Lk 8:40-42. 49-56 |
|---|---|---|
| | **Mk5:21** Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ [ἐν τῷ πλοίῳ] πάλιν εἰς τὸ πέραν | **Lk8:40** Ἐν δὲ τῷ ὑποστρέφειν τὸν Ἰησοῦν |
| | συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτόν, καὶ ἦν παρὰ τὴν θάλασσαν. | ἀπεδέξατο αὐτὸν ὁ ὄχλος, ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν. |
| **Mt9:18** Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ ἄρχων εἷς ἐλθὼν | **Mk5:22** καὶ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάϊρος, | **Lk8:41** καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάϊρος καὶ οὗτος ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν, καὶ πεσὼν |
| προσεκύνει αὐτῷ | καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ | παρὰ τοὺς πόδας [τοῦ] Ἰησοῦ |
| | **Mk5:23** καὶ παρακαλεῖ αὐτὸν πολλὰ | παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, |
| λέγων ὅτι Ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ᾽ αὐτήν, καὶ ζήσεται. | λέγων ὅτι Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει, ἵνα ἐλθὼν ἐπιθῇς τὰς χεῖρας αὐτῇ ἵνα σωθῇ καὶ ζήσῃ. | **Lk8:42** ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα* καὶ αὐτὴ ἀπέθνῃσκεν. (*Cf. Mk5:42.) |
| **Mt9:19** καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. | **Mk5:24** καὶ ἀπῆλθεν μετ᾽ αὐτοῦ. Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς καὶ συνέθλιβον αὐτόν. | Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. |
| ---------- | ---------- | ---------- |

As for "The Woman with a Hemorrhage" (Mt 9:20-22 / Mk 5:25-34 / Lk 8:43-48), cf. No. 57.

| Mt | Mk | Lk |
|---|---|---|
| | **Mk5:35** Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου λέγοντες ὅτι Ἡ θυγάτηρ σου ἀπέθανεν· τί ἔτι σκύλλεις τὸν διδάσκαλον; | **Lk8:49** Ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων ὅτι Τέθνηκεν ἡ θυγάτηρ σου· μηκέτι σκύλλε τὸν διδάσκαλον. |
| | **Mk5:36** ὁ δὲ Ἰησοῦς παρακούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ, Μὴ φοβοῦ, μόνον πίστευε. | **Lk8:50** ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, Μὴ φοβοῦ, μόνον πίστευσον, καὶ σωθήσεται. |
| | **Mk5:37** καὶ οὐκ ἀφῆκεν οὐδένα μετ᾽ αὐτοῦ συνακολουθῆσαι εἰ μὴ τὸν Πέτρον | **Lk8:51** ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν τινα σὺν αὐτῷ εἰ μὴ Πέτρον |

| | | |
|---|---|---|
| | καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου. | καὶ Ἰωάννην καὶ Ἰάκωβον<br>καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα* . * Cf. Mk5:40. |
| **Mt9:23** Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον | **Mk5:38** καὶ ἔρχονται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά, | **Lk8:52** ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. |
| **Mt9:24** ἔλεγεν,<br>Ἀναχωρεῖτε,<br>οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον<br>ἀλλὰ καθεύδει.<br>καὶ κατεγέλων αὐτοῦ. | **Mk5:39** καὶ εἰσελθὼν λέγει αὐτοῖς,<br>Τί θορυβεῖσθε καὶ κλαίετε;<br>τὸ παιδίον οὐκ ἀπέθανεν<br>ἀλλὰ καθεύδει.<br>**Mk5:40** καὶ κατεγέλων αὐτοῦ. | ὁ δὲ εἶπεν,<br>Μὴ κλαίετε,<br>οὐ γὰρ ἀπέθανεν<br>ἀλλὰ καθεύδει.<br>**Lk8:53** καὶ κατεγέλων αὐτοῦ εἰδότες ὅτι ἀπέθανεν. |
| **Mt9:25** ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος<br>εἰσελθὼν<br>ἐκράτησεν τῆς χειρὸς<br>αὐτῆς, | αὐτὸς δὲ ἐκβαλὼν πάντας παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα*<br>* Cf. Lk8:51.<br>καὶ τοὺς μετ᾽ αὐτοῦ καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον.<br>**Mk5:41** καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ,<br>Ταλιθα κουμ,<br>ὅ ἐστιν μεθερμηνευόμενον<br>Τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε. | **Lk8:54** αὐτὸς δὲ<br>κρατήσας τῆς χειρὸς<br>αὐτῆς ἐφώνησεν λέγων,<br>Ἡ παῖς, ἔγειρε. |
| καὶ ἠγέρθη<br>τὸ κοράσιον. | **Mk5:42** καὶ εὐθὺς ἀνέστη<br>τὸ κοράσιον καὶ περιεπάτει·<br>ἦν γὰρ ἐτῶν δώδεκα**.<br>**Cf. Lk8:42.<br>καὶ ἐξέστησαν [εὐθὺς] ἐκστάσει μεγάλῃ.<br>**Mk5:43** καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνοῖ τοῦτο,<br>καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν*. | **Lk8:55** καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς καὶ ἀνέστη παραχρῆμα<br>καὶ<br>διέταξεν αὐτῇ δοθῆναι φαγεῖν*.<br>* Cf. Mk5:43.<br>**Lk8:56** καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς·<br>ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.<br>* Cf. Lk8:55. |
| **Mt9:26** καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην. | | |

## No. 57 *[95b. 138b]*. The Woman with a Hemorrhage / 長血の女

| Mt 9:20-22 | Mk 5:25-34 | Lk 8:43-48 |
|---|---|---|
| **Mt9:20** Καὶ ἰδοὺ γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη | **Mk5:25** καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος δώδεκα ἔτη | **Lk8:43** καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις |
| | **Mk5:26** καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ’ αὐτῆς πάντα καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, | [ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον] οὐκ ἴσχυσεν ἀπ’ οὐδενὸς θεραπευθῆναι, |
| | **Mk5:27** ἀκούσασα περὶ τοῦ Ἰησοῦ, | |
| προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· | ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· | **Lk8:44** προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ |
| **Mt9:21** ἔλεγεν γὰρ ἐν ἑαυτῇ, Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ σωθήσομαι. | **Mk5:28** ἔλεγεν γὰρ ὅτι Ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ σωθήσομαι. | |
| | **Mk5:29** καὶ εὐθὺς ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. | καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. |
| Cf. Lk8:46. | **Mk5:30** καὶ εὐθὺς ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγεν, Τίς μου ἥψατο τῶν ἱματίων; | **Lk8:45** καὶ εἶπεν ὁ Ἰησοῦς, Τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος, |
| | **Mk5:31** καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, Τίς μου ἥψατο; Cf. Mk5:30. | Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν. **Lk8:46** ὁ δὲ Ἰησοῦς εἶπεν, Ἥψατό μού τις, ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξεληλυθυῖαν ἀπ’ ἐμοῦ. |
| | **Mk5:32** καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. | |
| | **Mk5:33** ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν αὐτῇ, ἦλθεν καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. | **Lk8:47** ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθεν τρέμουσα ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ δι’ ἣν αἰτίαν ἥψατο αὐτοῦ |

| | | |
|---|---|---|
| | | ἀπήγγειλεν ἐνώπιον παντὸς τοῦ λαοῦ καὶ ὡς ἰάθη παραχρῆμα. |
| Mt9:22 ὁ δὲ Ἰησοῦς στραφεὶς καὶ ἰδὼν αὐτὴν εἶπεν, Θάρσει, θύγατερ·<br>ἡ πίστις σου σέσωκέν σε. | Mk5:34 ὁ δὲ<br>εἶπεν αὐτῇ, Θυγάτηρ,<br>ἡ πίστις σου σέσωκέν σε·<br>ὕπαγε εἰς εἰρήνην<br>καὶ ἴσθι ὑγιὴς<br>ἀπὸ τῆς μάστιγός σου. | Lk8:48 ὁ δὲ<br>εἶπεν αὐτῇ, Θυγάτηρ,<br>ἡ πίστις σου σέσωκέν σε·<br>πορεύου εἰς εἰρήνην. |
| καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. | | |
| | ----------<br>***Mk10:52a*** *καὶ ὁ Ἰησοῦς*<br>*εἶπεν αὐτῷ,*<br>*Ὕπαγε,*<br>*ἡ πίστις σου σέσωκέν σε.* | ---------<br>***Lk18:42*** *καὶ ὁ Ἰησοῦς*<br>*εἶπεν αὐτῷ,*<br>*Ἀνάβλεψον·*<br>*ἡ πίστις σου σέσωκέν σε.* |
| - | | ----------<br>***Lk7:50*** *εἶπεν δὲ*<br>*πρὸς τὴν γυναῖκα,*<br>*Ἡ πίστις σου σέσωκέν σε·*<br>*πορεύου εἰς εἰρήνην.*<br>----------<br>***Lk17:19*** *καὶ εἶπεν αὐτῷ,*<br>*Ἀναστὰς πορεύου·*<br>*ἡ πίστις σου σέσωκέν σε.* |

## No. 58 *[33. 139].* Jesus is Rejected at Nazareth / 郷里における拒否

| Mt 13:53-58 | Mk 6:1-6a | Lk 4:16-30 |
|---|---|---|
| ***Mt4:13a*** *καὶ καταλιπὼν τὴν Ναζαρὰ ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ…*<br>--------- | | Lk4:16 Καὶ ἦλθεν εἰς Ναζαρά, οὗ ἦν τεθραμμένος, |
| Mt13:53 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. | Mk6:1 Καὶ ἐξῆλθεν ἐκεῖθεν | |
| Mt13:54 καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ | καὶ ἔρχεται εἰς τὴν πατρίδα αὐτοῦ, | |
| | καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ | καὶ εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ |

| | | |
|---|---|---|
| | αὐτοῦ. | |
| | **Mk6:2** καὶ γενομένου σαββάτου | ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων |
| ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ | ἤρξατο διδάσκειν ἐν τῇ συναγωγῇ, | εἰς τὴν συναγωγήν |
| αὐτῶν, | | καὶ ἀνέστη ἀναγνῶναι. |
| | | **Lk4:17** καὶ ἐπεδόθη αὐτῷ βιβλίον τοῦ προφήτου Ἠσαΐου καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ ἦν γεγραμμένον, |
| | | **Lk4:18 Πνεῦμα κυρίου ἐπ' ἐμέ οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι πτωχοῖς, ἀπέσταλκέν με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει,** |
| | | **Lk4:19 κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν.** |
| | | **Lk4:20** καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν· καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ. |
| | | **Lk4:21** ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. |
| | καὶ πολλοὶ | **Lk4:22** Καὶ πάντες ἐμαρτύρουν |
| ὥστε ἐκπλήσσεσθαι αὐτοὺς | ἀκούοντες ἐξεπλήσσοντο | αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ |
| καὶ λέγειν, | λέγοντες, | καὶ ἔλεγον, |
| Πόθεν τούτῳ | Πόθεν τούτῳ ταῦτα, | |
| ἡ σοφία αὕτη | καὶ τίς ἡ σοφία ἡ δοθεῖσα τούτῳ, | |
| καὶ αἱ δυνάμεις; | καὶ αἱ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γινόμεναι; | |
| **Mt13:55** οὐχ οὗτός ἐστιν | **Mk6:3** οὐχ οὗτός ἐστιν | Οὐχὶ υἱός ἐστιν Ἰωσὴφ οὗτος; |
| ὁ τοῦ τέκτονος υἱός; | ὁ τέκτων, | |
| οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται | ὁ υἱὸς τῆς | |
| Μαριὰμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ | Μαρίας καὶ ἀδελφὸς | |
| Ἰάκωβος καὶ Ἰωσὴφ | Ἰακώβου καὶ Ἰωσῆτος | |
| καὶ Σίμων καὶ Ἰούδας; | καὶ Ἰούδα καὶ Σίμωνος; | |

**Jh6:42** καὶ ἔλεγον, Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα;...

**Jh7:15** ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες, Πῶς οὗτος γράμματα οἶδεν μὴ μεμαθηκώς;

| | | |
|---|---|---|
| Mt13:56 καὶ αἱ ἀδελφαὶ αὐτοῦ<br>οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν;<br>πόθεν οὖν τούτῳ ταῦτα πάντα; | καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ<br>ὧδε πρὸς ἡμᾶς; | |
| Mt13:57 καὶ ἐσκανδαλίζοντο<br>ἐν αὐτῷ. | καὶ ἐσκανδαλίζοντο<br>ἐν αὐτῷ. | |
| | | Lk4:23 καὶ εἶπεν πρὸς αὐτούς,<br>Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην˙<br>Ἰατρέ, θεράπευσον σεαυτόν˙ ὅσα ἠκούσαμεν γενόμενα εἰς τὴν Καφαρναοὺμ ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. |
| ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, | Mk6:4 καὶ ἔλεγεν αὐτοῖς ὁ Ἰησοῦς | Lk4:24 εἶπεν δέ,<br>Ἀμὴν λέγω ὑμῖν |
| Οὐκ ἔστιν προφήτης ἄτιμος<br>εἰ μὴ<br>ἐν τῇ πατρίδι<br><br>καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. | ὅτι Οὐκ ἔστιν προφήτης ἄτιμος<br>εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ<br>καὶ ἐν τοῖς συγγενεῦσιν αὐτοῦ<br>καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. | ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν<br>ἐν τῇ πατρίδι αὐτοῦ. |

**Jh4:44** αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

**Th31** Λέγει Ἰησοῦς˙ οὐκ ἔστιν δεκτὸς προφήτης ἐν τῇ πατρίδι αὐτοῦ, οὐδὲ ἰατρὸς θεραπεύει τοὺς γεινώσκοντας αὐτόν.

**POxy 1,30-35** Λέγει Ἰ(ησοῦ)ς˙ οὐκ ἔστιν δεκτὸς προφήτης ἐν τῇ π(ατ)ρίδι αὐτ[ο]ῦ, οὐδὲ ἰατρὸς ποιεῖ θεραπείας εἰς τοὺς γεινώσκοντας αὐτό(ν).

| | | |
|---|---|---|
| Mt13:58 καὶ οὐκ ἐποίησεν ἐκεῖ<br>δυνάμεις πολλὰς | Mk6:5 καὶ οὐκ ἐδύνατο ἐκεῖ<br>ποιῆσαι οὐδεμίαν δύναμιν,<br>εἰ μὴ ὀλίγοις ἀρρώστοις<br>ἐπιθεὶς τὰς χεῖρας<br>ἐθεράπευσεν. | |
| διὰ τὴν<br>ἀπιστίαν αὐτῶν. | Mk6:6a καὶ ἐθαύμαζεν διὰ τὴν<br>ἀπιστίαν αὐτῶν. | |
| | | Lk4:25 ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, |

| | | |
|---|---|---|
| | | **Lk4:26** καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδωνίας πρὸς γυναῖκα χήραν. **Lk4:27** καὶ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλισαίου τοῦ προφήτου, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Ναιμὰν ὁ Σύρος. **Lk4:28** καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα **Lk4:29** καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους ἐφ' οὗ ἡ πόλις ᾠκοδόμητο αὐτῶν ὥστε κατακρημνίσαι αὐτόν· **Lk4:30** αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο. |

## No. 59 *[98a. 99a. 142].* Commissioning the Twelve / 十二弟子の派遣 (Cf. No. 90)

| Mt 9:35, 10:1, 5a | Mk 6:6b-8. 12-13 | Lk 9:1-3, 6 | |
|---|---|---|---|
| **Mt9:35** Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. | **Mk6:6b** Καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων. | | ***Lk10:1*** *Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος ἑτέρους* |

| | | | |
|---|---|---|---|
| **Mt10:1**Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. | **Mk6:7** καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων, | **Lk9:1** Συγκαλεσάμενος δὲ τοὺς ὡδεκα ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν | *ἑβδομήκοντα [δύο] καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο [δύο] πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι.* |
| ---------- | | | |
| **Mt10:5** Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· | **Mk6:8** καὶ παρήγγειλεν αὐτοῖς ἵνα | **Lk9:2** καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν θεοῦ καὶ ἰᾶσθαι [τοὺς ἀσθενεῖς], **Lk9:3** καὶ εἶπεν πρὸς αὐτούς, | ***Lk10:2*** *ἔλεγεν δὲ πρὸς αὐτούς, Ὁ μὲν θερισμὸς .....* |
| ---------- | ---------- | ---------- | ---------- |

As for the mission speech itself, cf. No. 90.

| | | | |
|---|---|---|---|
| | **Mk6:12** Καὶ ἐξελθόντες ἐκήρυξαν ἵνα μετανοῶσιν, **Mk6:13** καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον. | **Lk9:6** ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ. | |

## No. 60 *[143]*. Opinions Regarding Jesus / イエスは何者

| Mt 14:1-2 | Mk 6:14-16 | Lk 9:7-9 |
|---|---|---|
| **Mt14:1** Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετραάρχης τὴν ἀκοὴν Ἰησοῦ, **Mt14:2** καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ, Οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη | **Mk6:14** Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγον ὅτι Ἰωάννης ὁ βαπτίζων ἐγήγερται | **Lk9:7** Ἤκουσεν δὲ Ἡρῴδης ὁ τετραάρχης τὰ γινόμενα πάντα καὶ διηπόρει διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἠγέρθη |

| | | |
|---|---|---|
| ἀπὸ τῶν νεκρῶν καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. | ἐκ νεκρῶν καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.<br>**Mk6:15** ἄλλοι δὲ ἔλεγον ὅτι Ἠλίας ἐστίν˙<br>ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ὡς εἷς τῶν προφητῶν.<br>**Mk6:16** ἀκούσας δὲ ὁ Ἡρῴδης ἔλεγεν, Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτος ἠγέρθη. | ἐκ νεκρῶν,<br>**Lk9:8** ὑπό τινων δὲ ὅτι Ἠλίας ἐφάνη,<br>ἄλλων δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.<br>**Lk9:9** εἶπεν δὲ Ἡρῴδης, Ἰωάννην ἐγὼ ἀπεκεφάλισα˙ τίς δέ ἐστιν οὗτος περὶ οὗ ἀκούω τοιαῦτα; καὶ ἐζήτει ἰδεῖν αὐτόν. |
| ---------- | ---------- | ---------- |
| ***Mt16:14*** *οἱ δὲ εἶπαν,*<br>*Οἱ μὲν Ἰωάννην τὸν βαπτιστήν,*<br>*ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν.* | ***Mk8:28*** *οἱ δὲ εἶπαν αὐτῷ λέγοντες [ὅτι] Ἰωάννην τὸν βαπτιστήν,*<br>*καὶ ἄλλοι, Ἠλίαν, ἄλλοι δὲ ὅτι εἷς τῶν προφητῶν.* | ***Lk9:19*** *οἱ δὲ ἀποκριθέντες εἶπαν,*<br>*Ἰωάννην τὸν βαπτιστήν,*<br>*ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.* |

**Jh1:21** καὶ ἠρώτησαν αὐτόν, Τί οὖν; Σύ Ἠλίας εἶ; καὶ λέγει, Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη, Οὔ.
**Jh1:25** καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ, Τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης;

## No. 61 *[17. 144]*. The Death of John the Baptist / バプテスマのヨハネの死

| Mt 14:3-12 | Mk 6:17-29 | Lk 3:19-20 |
|---|---|---|
| **Mt14:3** Ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν [αὐτὸν] καὶ ἐν φυλακῇ ἀπέθετο διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ˙ | **Mk6:17** Αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησεν τὸν Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν˙ | **Lk3:19** ὁ δὲ Ἡρῴδης ὁ τετραάρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν ἐποίησεν πονηρῶν ὁ Ἡρῴδης,<br>**Lk3:20** προσέθηκεν καὶ τοῦτο ἐπὶ πᾶσιν [καὶ] κατέκλεισεν τὸν Ἰωάννην ἐν φυλακῇ. |
| **Mt14:4** ἔλεγεν γὰρ ὁ Ἰωάννης αὐτῷ, Οὐκ ἔξεστίν σοι ἔχειν αὐτήν. | **Mk6:18** ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι Οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.<br>**Mk6:19** ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν | |

| | | | |
|---|---|---|---|
| | αὐτῷ | | |
| **Mt14:5** καὶ θέλων αὐτὸν ἀποκτεῖναι | καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο˙ | | |
| ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. | **Mk6:20** ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ πολλὰ ἠπόρει, καὶ ἡδέως αὐτοῦ ἤκουεν. | | |
| **Mt14:6** γενεσίοις δὲ γενομένοις τοῦ Ἡρῴδου | **Mk6:21** Καὶ γενομένης ἡμέρας εὐκαίρου ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίησεν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας, | | |
| ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσεν τῷ Ἡρῴδῃ, | **Mk6:22** καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτοῦ Ἡρῳδιάδος καὶ ὀρχησαμένης ἤρεσεν τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις. εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ, Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι˙ | | |
| **Mt14:7** ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. | **Mk6:23** καὶ ὤμοσεν αὐτῇ [πολλά], Ὅ τι ἐάν με αἰτήσῃς δώσω σοι ἕως ἡμίσους τῆς βασιλείας μου. | | |
| **Mt14:8** ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, | **Mk6:24** καὶ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς, Τί αἰτήσωμαι; ἡ δὲ εἶπεν, Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτίζοντος. | | |
| Δός μοι, φησίν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. | **Mk6:25** καὶ εἰσελθοῦσα εὐθὺς μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα, Θέλω ἵνα ἐξαυτῆς δῷς μοι ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. | | |
| **Mt14:9** καὶ λυπηθεὶς ὁ βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσεν δοθῆναι, | **Mk6:26** καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς ἀνακειμένους οὐκ ἠθέλησεν ἀθετῆσαι αὐτήν˙ | | |
| **Mt14:10** καὶ πέμψας | **Mk6:27** καὶ εὐθὺς ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτορα ἐπέταξεν ἐνέγκαι τὴν κεφαλὴν αὐτοῦ. καὶ | | |

| | | |
|---|---|---|
| <br>ἀπεκεφάλισεν [τὸν] Ἰωάννην<br>ἐν τῇ φυλακῇ.<br>**Mt14:11** καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ ἐδόθη τῷ κορασίῳ, καὶ<br>ἤνεγκεν<br>τῇ μητρὶ αὐτῆς.<br>**Mt14:12** καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ πτῶμα<br>καὶ ἔθαψαν αὐτό[ν]<br>καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. | ἀπελθὼν<br>ἀπεκεφάλισεν αὐτὸν<br>ἐν τῇ φυλακῇ<br>**Mk6:28** καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον<br>ἔδωκεν<br>αὐτὴν τῇ μητρὶ αὐτῆς.<br>**Mk6:29** καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ<br>καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. | |

## No. 62 *[145]*. The Return of the Twelve / 十二弟子の帰還

| Mt | Mk 6:30-31 | Lk 9:10a |
|---|---|---|
| ***Mt14:12b*** ……*ἐλθόντες*<br><br>*ἀπήγγειλαν τῷ Ἰησοῦ.* | **Mk6:30** Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν καὶ ἀπήγγειλαν αὐτῷ πάντα ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν.<br>**Mk6:31** καὶ λέγει αὐτοῖς, Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον καὶ ἀναπαύσασθε ὀλίγον. ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν. | **Lk9:10** Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν.<br><br>----------<br>***Lk10:17*** *Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα [δύο] μετὰ χαρᾶς λέγοντες, Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.* |

## No. 63 *[146]*. Five Thousand Are Fed / 五千人の供食

| Mt 14:13-21 | Mk 6:32-44 | Lk 9:10b-17 |
|---|---|---|

| | | |
|---|---|---|
| **Mt14:13** Ἀκούσας δὲ ὁ Ἰησοῦς<br>ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ<br>εἰς ἔρημον τόπον κατ’ ἰδίαν·<br><br><br>καὶ ἀκούσαντες<br>οἱ ὄχλοι<br>ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ<br>τῶν πόλεων. | **Mk6:32** καὶ<br>ἀπῆλθον ἐν τῷ πλοίῳ<br>εἰς ἔρημον τόπον κατ’ ἰδίαν.<br><br>**Mk6:33** καὶ εἶδον αὐτοὺς<br>ὑπάγοντας καὶ<br>ἐπέγνωσαν πολλοί<br>καὶ πεζῇ ἀπὸ<br>πασῶν τῶν πόλεων συνέδραμον<br>ἐκεῖ καὶ προῆλθον αὐτούς. | **Lk9:10b** καὶ παραλαβὼν αὐτοὺς<br>ὑπεχώρησεν<br>κατ’ ἰδίαν εἰς πόλιν<br>καλουμένην Βηθσαϊδά.<br><br><br>**Lk9:11** οἱ δὲ ὄχλοι γνόντες<br>ἠκολούθησαν αὐτῷ· |
| **Mt14:14** καὶ ἐξελθὼν εἶδεν πολὺν<br>ὄχλον<br>καὶ ἐσπλαγχνίσθη ἐπ’ αὐτοῖς<br><br><br>καὶ ἐθεράπευσεν<br>τοὺς ἀρρώστους αὐτῶν. | **Mk6:34** καὶ ἐξελθὼν εἶδεν πολὺν<br>ὄχλον<br>καὶ ἐσπλαγχνίσθη ἐπ’ αὐτοὺς,<br>ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα<br>ποιμένα,<br><br><br>καὶ ἤρξατο διδάσκειν αὐτοὺς<br>πολλά. | <br><br>καὶ ἀποδεξάμενος αὐτοὺς<br>ἐλάλει αὐτοῖς περὶ τῆς<br>βασιλείας τοῦ θεοῦ,<br>καὶ τοὺς χρείαν ἔχοντας θεραπείας<br>ἰᾶτο. |

**Jh6:1** Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος. **Jh6:2** ἠκολούθει δὲ αὐτῷ ὄχλος πολύς, ὅτι ἐθεώρουν τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. **Jh6:3** ἀνῆλθεν δὲ εἰς τὸ ὄρος Ἰησοῦς καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. **Jh6:4** ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

| | | |
|---|---|---|
| **Mt14:15** ὀψίας δὲ<br>γενομένης προσῆλθον αὐτῷ<br>οἱ μαθηταὶ λέγοντες,<br>Ἔρημός ἐστιν ὁ τόπος<br>καὶ ἡ ὥρα ἤδη παρῆλθεν·<br>ἀπόλυσον τοὺς ὄχλους,<br>ἵνα ἀπελθόντες<br>εἰς τὰς κώμας<br>ἀγοράσωσιν ἑαυτοῖς βρώματα*.<br>* Cf. Lk9:13. | **Mk6:35** Καὶ ἤδη ὥρας πολλῆς<br>γενομένης προσελθόντες αὐτῷ<br>οἱ μαθηταὶ αὐτοῦ ἔλεγον ὅτι<br>Ἔρημός ἐστιν ὁ τόπος<br>καὶ ἤδη ὥρα πολλή·<br>**Mk6:36** ἀπόλυσον αὐτούς,<br>ἵνα ἀπελθόντες<br>εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας<br>ἀγοράσωσιν ἑαυτοῖς τί φάγωσιν. | **Lk9:12** Ἡ δὲ ἡμέρα ἤρξατο<br>κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα<br>εἶπαν αὐτῷ,<br><br>Ἀπόλυσον τὸν ὄχλον,<br>ἵνα πορευθέντες<br>εἰς τὰς κύκλῳ κώμας καὶ ἀγροὺς<br>καταλύσωσιν καὶ εὕρωσιν<br>ἐπισιτισμόν,<br>ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. |
| **Mt14:16** ὁ δὲ [Ιησοῦς] εἶπεν<br>αὐτοῖς, Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν,<br>δότε αὐτοῖς ὑμεῖς φαγεῖν. | **Mk6:37** ὁ δὲ ἀποκριθεὶς εἶπεν<br>αὐτοῖς,<br>Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ<br>λέγουσιν αὐτῷ, Ἀπελθόντες<br>ἀγοράσωμεν δηναρίων διακοσίων<br>ἄρτους καὶ δώσομεν αὐτοῖς φαγεῖν;<br>**Mk6:38** ὁ δὲ λέγει αὐτοῖς, Πόσους | **Lk9:13** εἶπεν δὲ<br>πρὸς αὐτούς,<br>Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. |

| | | |
|---|---|---|
| | ἄρτους ἔχετε; ὑπάγετε ἴδετε. καὶ γνόντες | |
| **Mt14:17** οἱ δὲ λέγουσιν αὐτῷ, Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. | λέγουσιν, Πέντε, καὶ δύο ἰχθύας. | οἱ δὲ εἶπαν, Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ ἄρτοι πέντε καὶ ἰχθύες δύο, εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα*. |
| | * Cf. Mt14:15.<br>** Cf. Mt14:21/Mk6:44. | **Lk9:14** ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι**. |
| **Mt14:18** ὁ δὲ εἶπεν, Φέρετέ μοι ὧδε αὐτούς. | | εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ, |

**Jh6:5** ἐπάρας οὖν τοὺς ὀφθαλμοὺς ὁ Ἰησοῦς καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν λέγει πρὸς Φίλιππον, Πόθεν ἀγοράσωμεν ἄρτους ἵνα φάγωσιν οὗτοι; **Jh6:6** τοῦτο δὲ ἔλεγεν πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλεν ποιεῖν. **Jh6:7** ἀπεκρίθη αὐτῷ [ὁ] Φίλιππος, Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς ἵνα ἕκαστος βραχύ [τι] λάβῃ. **Jh6:8** λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, **Jh6:9** Ἔστιν παιδάριον ὧδε ὃς ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;

| | | |
|---|---|---|
| **Mt14:19** καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοῦ χόρτου, | **Mk6:39** καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. **Mk6:40** καὶ ἀνέπεσαν πρασιαὶ πρασιαὶ κατὰ ἑκατὸν καὶ κατὰ πεντήκοντα. | Κατακλίνατε αὐτοὺς κλισίας [ὡσεὶ] ἀνὰ πεντήκοντα. **Lk9:15** καὶ ἐποίησαν οὕτως καὶ κατέκλιναν ἅπαντας. |
| λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. | **Mk6:41** καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κατέκλασεν τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς [αὐτοῦ] ἵνα παρατιθῶσιν αὐτοῖς, καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν. | **Lk9:16** λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς παραθεῖναι τῷ ὄχλῳ. |
| **Mt14:20** καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις. | **Mk6:42** καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, **Mk6:43** καὶ ἦραν κλάσματα δώδεκα κοφίνων πληρώματα καὶ ἀπὸ τῶν ἰχθύων. | **Lk9:17** καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες, καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώδεκα. |
| **Mt14:21** οἱ δὲ ἐσθίοντες ἦσαν | **Mk6:44** καὶ ἦσαν οἱ φαγόντες | |

| | | |
|---|---|---|
| *Cf. Lk9:14.<br>ἄνδρες ὡσεὶ πεντακισχίλιοι*<br>χωρὶς γυναικῶν καὶ παιδίων. | [τοὺς ἄρτους]<br>πεντακισχίλιοι ἄνδρες*. | |

**Jh6:10** εἶπεν ὁ Ἰησοῦς· ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. ἀνέπεσαν οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡς πεντακισχίλιοι. **Jh6:11** ἔλαβεν οὖν τοὺς ἄρτους ὁ Ἰησοῦς καὶ εὐχαριστήσας διέδωκεν τοῖς ἀνακειμένοις ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. **Jh6:12** ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ· συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. **Jh6:13** συνήγαγον οὖν καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων ἃ ἐπερίσσευσαν τοῖς βεβρωκόσιν.

## No. 64 *[147]*. The Walking on the Water / 海上步行

| Mt 14:22-33 | Mk 6:45-52 | Lk |
|---|---|---|
| **Mt14:22** Καὶ εὐθέως ἠνάγκασεν τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. | **Mk6:45** Καὶ εὐθὺς ἠνάγκασεν τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύει τὸν ὄχλον. | |
| **Mt14:23** καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. | **Mk6:46** καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.<br>**Mk6:47** καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. | |
| **Mt14:24** τὸ δὲ πλοῖον ἤδη σταδίους πολλοὺς ἀπὸ τῆς γῆς ἀπεῖχεν βασανιζόμενον ὑπὸ τῶν κυμάτων, ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.<br>**Mt14:25** τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθεν πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τὴν θάλασσαν. | **Mk6:48** καὶ ἰδὼν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν, ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς, περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἤθελεν παρελθεῖν αὐτούς. | |
| **Mt14:26** οἱ δὲ μαθηταὶ ἰδόντες αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι Φάντασμά ἐστιν, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. | **Mk6:49** οἱ δὲ ἰδόντες αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα ἔδοξαν ὅτι φάντασμά ἐστιν, καὶ ἀνέκραξαν·<br>**Mk6:50** πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν. | |
| **Mt14:27** εὐθὺς δὲ ἐλάλησεν [ὁ Ἰησοῦς] αὐτοῖς λέγων, Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε. | ὁ δὲ εὐθὺς ἐλάλησεν μετ᾽ αὐτῶν, καὶ λέγει αὐτοῖς, Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε. | |
| **Mt14:28** ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπεν, Κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα. | | |

| Mt | Mk | Lk |
|---|---|---|
| **Mt14:29** ὁ δὲ εἶπεν, Ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου [ὁ] Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα καὶ ἦλθεν πρὸς τὸν Ἰησοῦν. **Mt14:30** βλέπων δὲ τὸν ἄνεμον [ἰσχυρὸν] ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν λέγων, Κύριε, σῶσόν με. **Mt14:31** εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ, Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; | | |
| **Mt14:32** καὶ ἀναβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος. | **Mk6:51** καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ λίαν [ἐκ περισσοῦ] ἐν ἑαυτοῖς ἐξίσταντο˙ | |
| **Mt14:33** οἱ δὲ ἐν τῷ πλοίῳ προσεκύνησαν αὐτῷ λέγοντες, Ἀληθῶς θεοῦ υἱὸς εἶ. | **Mk6:52** οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἀλλ' ἦν αὐτῶν ἡ καρδία πεπωρωμένη. | |

**Jh6:15** Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσιν βασιλέα, ἀνεχώρησεν πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος. **Jh6:16** Ὡς δὲ ὀψία ἐγένετο κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν **Jh6:17** καὶ ἐμβάντες εἰς πλοῖον ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καφαρναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει καὶ οὔπω ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς, **Jh6:18** ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διεγείρετο. **Jh6:19** ἐληλακότες οὖν ὡς σταδίους εἴκοσι πέντε ἢ τριάκοντα θεωροῦσιν τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν. **Jh6:20** ὁ δὲ λέγει αὐτοῖς, Ἐγώ εἰμι, μὴ φοβεῖσθε. **Jh6:21** ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως ἐγένετο τὸ πλοῖον ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.

## No. 65 *[148]*. Healings at Gennesaret / ゲネサレトでの群衆の癒し

| Mt 14:34-36 | Mk 6:53-56 | Lk |
|---|---|---|
| **Mt14:34** Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν εἰς Γεννησαρέτ. | **Mk6:53** Καὶ διαπεράσαντες ἐπὶ τὴν γῆν ἦλθον εἰς Γεννησαρὲτ καὶ προσωρμίσθησαν. | |
| **Mt14:35** καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας | **Mk6:54** καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθὺς ἐπιγνόντες αὐτὸν **Mk6:55** περιέδραμον ὅλην τὴν χώραν ἐκείνην καὶ ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐστίν. **Mk6:56** καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ εἰς πόλεις ἢ εἰς ἀγροὺς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας | |

| | | |
|---|---|---|
| Mt14:36 καὶ παρεκάλουν αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν. | καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥψαντο αὐτοῦ ἐσῴζοντο. | |

## No. 66 *[150]*. Argument Concerning Defilement / 穢れ論争

| Mt 15:1-20 | Mk 7:1-23 | Lk |
|---|---|---|
| Mt15:1 Τότε προσέρχονται τῷ Ἰησοῦ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς | Mk7:1 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων. | |
| | Mk7:2 καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ ὅτι κοιναῖς χερσίν, τοῦτ᾽ ἔστιν ἀνίπτοις, ἐσθίουσιν τοὺς ἄρτους | |
| | Mk7:3 οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας οὐκ ἐσθίουσιν, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων, | |
| | Mk7:4 καὶ ἀπ᾽ ἀγορᾶς ἐὰν μὴ βαπτίσωνται οὐκ ἐσθίουσιν, καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων [καὶ κλινῶν] | |
| λέγοντες, | Mk7:5 καὶ ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, | |
| Mt15:2 Διὰ τί οἱ μαθηταί σου παραβαίνουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας [αὐτῶν] ὅταν ἄρτον ἐσθίωσιν. | Διὰ τί οὐ περιπατοῦσιν οἱ μαθηταί σου κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ κοιναῖς χερσὶν ἐσθίουσιν τὸν ἄρτον; | |
| Mt15:3 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Διὰ τί καὶ ὑμεῖς | Mk7:6a ὁ δὲ εἶπεν αὐτοῖς, | |
| | ---------- | |
| παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; | Mk7:8 ἀφέντες τὴν ἐντολὴν τοῦ θεοῦ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων. | |
| | Mk7:9 Καὶ ἔλεγεν αὐτοῖς, Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν στήσητε. | |
| Mt15:4 ὁ γὰρ θεὸς εἶπεν, Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, | Mk7:10 Μωϋσῆς γὰρ εἶπεν, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, | |

| | |
|---|---|
| καί, Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ | καί, Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ |
| τελευτάτω. | τελευτάτω. |
| Mt15:5 ὑμεῖς δὲ λέγετε, . | Mk7:11 ὑμεῖς δὲ λέγετε, |
| Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, | Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, |
| | Κορβᾶν, ὅ ἐστιν, |
| Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, | Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, |
| Mt15:6 οὐ μὴ | Mk7:12 οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι |
| τιμήσει τὸν πατέρα αὐτοῦ· | τῷ πατρὶ ἢ τῇ μητρί, |
| καὶ ἠκυρώσατε τὸν λόγον τοῦ θεοῦ | Mk7:13 ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ |
| διὰ τὴν παράδοσιν ὑμῶν. | τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε· |
| | καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. |
| | ---------- |
| Mt15:7 ὑποκριταί, καλῶς ἐπροφήτευσεν | Mk7:6b Καλῶς ἐπροφήτευσεν |
| περὶ ὑμῶν Ἠσαΐας λέγων, | Ἠσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, |
| | ὡς γέγραπται [ὅτι] |
| Mt15:8 Ὁ λαὸς οὗτος τοῖς | Οὗτος ὁ λαὸς |
| χείλεσίν με τιμᾷ, | τοῖς χείλεσίν με τιμᾷ, |
| ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει | ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει |
| ἀπ᾽ ἐμοῦ· | ἀπ᾽ ἐμοῦ· |
| Mt15:9 μάτην δὲ σέβονταί με διδάσκοντες | Mk7:7 μάτην δὲ σέβονταί με διδάσκοντες |
| διδασκαλίας ἐντάλματα ἀνθρώπων. | διδασκαλίας ἐντάλματα ἀνθρώπων. |
| ---------- | |
| ***Mt15:3b*** ... Διὰ τί καὶ ὑμεῖς | |
| παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ | ***Mk7:8*** ἀφέντες τὴν ἐντολὴν τοῦ θεοῦ |
| διὰ τὴν παράδοσιν ὑμῶν; | κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων. |
| | ***Mk7:9*** Καὶ ἔλεγεν αὐτοῖς, |
| | Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν |
| | παράδοσιν ὑμῶν στήσητε. |
| ***Mt15:4*** ὁ γὰρ θεὸς εἶπεν, | ***Mk7:10*** Μωϋσῆς γὰρ εἶπεν, |
| Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, | Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, |
| καί, Ὁ κακολογῶν πατέρα ἢ μητέρα | καί, Ὁ κακολογῶν πατέρα ἢ μητέρα |
| θανάτῳ τελευτάτω. | θανάτῳ τελευτάτω. |
| ***Mt15:5*** ὑμεῖς δὲ λέγετε, . | ***Mk7:11*** ὑμεῖς δὲ λέγετε, |
| Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, | Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, |
| | Κορβᾶν, ὅ ἐστιν, |
| Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, | Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, |
| ***Mt15:6*** οὐ μὴ | ***Mk7:12*** οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι |
| τιμήσει τὸν πατέρα αὐτοῦ· | τῷ πατρὶ ἢ τῇ μητρί, |
| καὶ ἠκυρώσατε τὸν λόγον τοῦ θεοῦ | ***Mk7:13*** ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ |
| διὰ τὴν παράδοσιν ὑμῶν. | τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε· |
| ----------- | καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. |

| | | |
|---|---|---|
| **Mt15:10** Καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς, Ἀκούετε καὶ συνίετε· | **Mk7:14** Καὶ προσκαλεσάμενος πάλιν τὸν ὄχλον ἔλεγεν αὐτοῖς, Ἀκούσατέ μου πάντες καὶ σύνετε. | |
| **Mt15:11** οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον. | **Mk7:15** οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται κοινῶσαι αὐτόν, ἀλλὰ τὰ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον. | |
| | **Th14** (5) οὐ γὰρ τὸ εἰσερχόμενον εἰς τὸ στόμα ὑμῶν κοινώσει ὑμᾶς, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος ὑμῶν τοῦτο καινώσει ὑμᾶς. | |
| **Mt15:12** Τότε προσελθόντες οἱ μαθηταὶ λέγουσιν αὐτῷ, Οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; | **Mk7:17** Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ | |
| **Mt15:13** ὁ δὲ ἀποκριθεὶς εἶπεν, Πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. | **Th40*** (1) Jesus says: “A grapewine was planted outside (the vaineyard) of the father. (2) And since it is not supported, it will be pulled up by its root (and) will perish.” *(*no Greek retranslation available in Aland's Synopsis)* | |
| **Mt15:14** ἄφετε αὐτούς· τυφλοί εἰσιν ὁδηγοί [τυφλῶν]· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. | **Th34** Λέγει Ἰησοῦς· τυφλὸς ἐὰν προάγῃ τυφλόν, ἀμφότεροι πίπτουσιν εἰς βόθυνον. | ***Lk6:39*** *Εἶπεν δὲ καὶ παραβολὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται;* |
| **Mt15:15** Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, Φράσον ἡμῖν τὴν παραβολήν [ταύτην]. | τὴν παραβολήν. | |
| **Mt15:16** ὁ δὲ εἶπεν, Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; | **Mk7:18** καὶ λέγει αὐτοῖς, Οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε; | |
| **Mt15:17** οὐ νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; | οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι **Mk7:19** ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν ἀλλ’ εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζων πάντα τὰ βρώματα; | |
| **Mt15:18** τὰ δὲ ἐκπορευόμενα | **Mk7:20** ἔλεγεν δὲ ὅτι | |

| | | |
|---|---|---|
| ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. | Τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. | |
| **Mt15:19** ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι,<br>μοιχεῖαι, πορνεῖαι, κλοπαί,<br>ψευδομαρτυρίαι, βλασφημίαι. | **Mk7:21** ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται,<br>πορνεῖαι, κλοπαί, φόνοι,<br>**Mk7:22** μοιχεῖαι, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφροσύνη˙ | |
| **Mt15:20** ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον,<br>τὸ δὲ ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον. | **Mk7:23** πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον. | |

## No. 67 *[151]*. The Wit of a Gentile Woman / 異邦の女の機知

| Mt 15:21-28 | Mk 7:24-30 | Lk |
|---|---|---|
| **Mt15:21** Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. | **Mk7:24** Ἐκεῖθεν δὲ ἀναστὰς ἀπῆλθεν εἰς τὰ ὅρια Τύρου. καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελεν γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν˙ | |
| **Mt15:22** καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραζεν λέγουσα, Ἐλέησόν με, κύριε υἱὸς Δαυίδ˙ ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. | **Mk7:25** ἀλλ᾽ εὐθὺς ἀκούσασα γυνὴ περὶ αὐτοῦ, ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, | |
| **Mt15:23** ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτουν αὐτὸν λέγοντες, Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. | | |
| **Mt15:24** ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. | | |
| **Mt15:25** ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ<br>λέγουσα, Κύριε, βοήθει μοι. | ἐλθοῦσα προσέπεσεν πρὸς τοὺς πόδας αὐτοῦ˙<br>**Mk7:26** ἡ δὲ γυνὴ ἦν Ἑλληνίς, Συροφοινίκισσα τῷ γένει˙ καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. | |

| | | |
|---|---|---|
| **Mt15:26** ὁ δὲ ἀποκριθεὶς εἶπεν,<br><br>Οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. | **Mk7:27** καὶ ἔλεγεν αὐτῇ,<br>Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα,<br>οὐ γάρ ἐστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ τοῖς κυναρίοις βαλεῖν. | |
| **Mt15:27** ἡ δὲ εἶπεν,<br>Ναί κύριε, καὶ γὰρ τὰ κυνάρια<br>ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων<br>ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. | **Mk7:28** ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ,<br>Κύριε, καὶ τὰ κυνάρια<br>ὑποκάτω τῆς τραπέζης<br>ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν παιδίων. | |
| **Mt15:28** τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ,<br>Ὦ γύναι, μεγάλη σου ἡ πίστις·<br>γενηθήτω σοι ὡς θέλεις.<br>καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης. | **Mk7:29** καὶ εἶπεν αὐτῇ,<br>Διὰ τοῦτον τὸν λόγον ὕπαγε, ἐξελήλυθεν ἐκ<br><br>τῆς θυγατρός σου τὸ δαιμόνιον. | |
| | **Mk7:30** καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός. | |

## No. 68 *[152]*. Jesus Heals a Deaf Mute / 聾唖者の癒し

| Mt 15:29-31 | Mk 7:31-37 | Lk |
|---|---|---|
| **Mt15:29** Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς<br>ἦλθεν<br>παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας,<br>καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ. | **Mk7:31** Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων<br>Τύρου ἦλθεν διὰ Σιδῶνος<br>εἰς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. | |
| **Mt15:30** καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ<br>ἔχοντες μεθ' ἑαυτῶν<br><br>χωλούς, τυφλούς, κυλλούς, κωφούς, καὶ ἑτέρους πολλοὺς καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας αὐτοῦ, | **Mk7:32** καὶ φέρουσιν αὐτῷ κωφὸν καὶ μογιλάλον καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. | |
| | **Mk7:33** καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν ἔβαλεν τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ, | |
| | **Mk7:34** καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν<br>ἐστέναξεν καὶ λέγει<br>αὐτῷ, Εφφαθα, ὅ ἐστιν, Διανοίχθητι. | |
| καὶ ἐθεράπευσεν αὐτούς· | **Mk7:35** καὶ [εὐθέως] ἠνοίγησαν αὐτοῦ αἱ ἀκοαί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ καὶ ἐλάλει ὀρθῶς. | |
| | **Mk7:36** καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ λέγωσιν· ὅσον δὲ αὐτοῖς διεστέλλετο, αὐτοὶ μᾶλλον περισσότερον ἐκήρυσσον. | |

| | | |
|---|---|---|
| Mt15:31 ὥστε τὸν ὄχλον θαυμάσαι βλέποντας κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς καὶ χωλοὺς περιπατοῦντας καὶ τυφλοὺς βλέποντας· καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ. | Mk7:37 καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο λέγοντες, Καλῶς πάντα πεποίηκεν, καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ [τοὺς] ἀλάλους λαλεῖν. | |

## No. 69 *[153].* Four Thousand Are Fed / 四千人の供食

| Mt 15:32-39 | Mk 8:1-10 | Lk |
|---|---|---|
| | Mk8:1 Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσιν, | |
| Mt15:32 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν, | προσκαλεσάμενος τοὺς μαθητὰς λέγει αὐτοῖς, | |
| Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν· | Mk8:2 Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν· | |
| καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. | Mk8:3 καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· καί τινες αὐτῶν ἀπὸ μακρόθεν ἥκασιν. | |
| Mt15:33 καὶ λέγουσιν αὐτῷ οἱ μαθηταί, Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥστε χορτάσαι ὄχλον τοσοῦτον; | Mk8:4 καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ὅτι Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας; | |
| Mt15:34 καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πόσους ἄρτους ἔχετε; οἱ δὲ εἶπαν, Ἑπτά καὶ ὀλίγα ἰχθύδια. | Mk8:5 καὶ ἠρώτα αὐτούς, Πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπαν, Ἑπτά. | |
| Mt15:35 καὶ παραγγείλας τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τὴν γῆν | Mk8:6 καὶ παραγγέλλει τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· | |
| Mt15:36 ἔλαβεν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας καὶ εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. | καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρατιθῶσιν, καὶ παρέθηκαν τῷ ὄχλῳ. | |
| | Mk8:7 καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας αὐτὰ εἶπεν καὶ ταῦτα παρατιθέναι. | |
| Mt15:37 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. καὶ τὸ περισσεῦον τῶν κλασμάτων ἦραν ἑπτὰ σπυρίδας πλήρεις. | Mk8:8 καὶ ἔφαγον καὶ ἐχορτάσθησαν, καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. | |
| Mt15:38 οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες χωρὶς γυναικῶν καὶ παιδίων. | Mk8:9 ἦσαν δὲ ὡς τετρακισχίλιοι. | |
| Mt15:39 Καὶ ἀπολύσας τοὺς ὄχλους | καὶ ἀπέλυσεν αὐτούς. | |

| | | |
|---|---|---|
| ἐνέβη εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγαδάν. | **Mk8:10** Καὶ εὐθὺς ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. | |

## No. 70 *[119. 154. 188a. 191a].* The Seekers of a Sign / 徴を求める者たち

| Mt 16:1. 4 | Mt 12:38-40 | Mk 8:11-13 | Lk 11:16. 29-30 |
|---|---|---|---|
| **Mt16:1** Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. | **Mt12:38** Τότε ἀπεκρίθησαν αὐτῷ τινες τῶν γραμματέων καὶ Φαρισαίων λέγοντες, Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν. | **Mk8:11** Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. | **Lk11:16** ἕτεροι δὲ πειράζοντες σημεῖον ἐξ οὐρανοῦ ἐζήτουν παρ' αὐτοῦ. |
| ---------- | **Mt12:39** ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, | **Mk8:12** καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει, | ---------- **Lk11:29** Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέγειν, |
| **Mt16:4** Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, | Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, | Τί ἡ γενεὰ αὕτη ζητεῖ σημεῖον; | Ἡ γενεὰ αὕτη γενεὰ πονηρά ἐστιν· σημεῖον ζητεῖ, |
| καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. | καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. | ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτη σημεῖον. | καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. |
| καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν. | | **Mk8:13** καὶ ἀφεὶς αὐτοὺς πάλιν ἐμβὰς ἀπῆλθεν εἰς τὸ πέραν. | |
| | **Mt12:40** ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται | | **Lk11:30** καθὼς γὰρ ἐγένετο Ἰωνᾶς τοῖς Νινευίταις σημεῖον, οὕτως ἔσται |

| | | |
|---|---|---|
| ὁ υἱὸς τοῦ ἀνθρώπου<br>ἐν τῇ καρδίᾳ τῆς γῆς<br>τρεῖς ἡμέρας καὶ<br>τρεῖς νύκτας. | | καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου<br>τῇ γενεᾷ ταύτῃ. |

**Jh2:18** ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ, Τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς;
**Jh6:30** εἶπον οὖν αὐτῷ, Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

## No. 71 *[155. 195]*. The Leaven of the Pharisees / ファリサイ派のパン種

| Mt 16:5-12 | Mk 8:14-21 | Lk 12:1 |
|---|---|---|
| | | **Lk12:1** Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, |
| **Mt16:5** Καὶ ἐλθόντες οἱ μαθηταὶ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν. | **Mk8:14** Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. | |
| **Mt16:6** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, | **Mk8:15** καὶ διεστέλλετο αὐτοῖς λέγων, | ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον, |
| Ὁρᾶτε καὶ προσέχετε<br>ἀπὸ τῆς ζύμης<br>τῶν Φαρισαίων<br>καὶ Σαδδουκαίων. | Ὁρᾶτε, βλέπετε<br>ἀπὸ τῆς ζύμης<br>τῶν Φαρισαίων<br>καὶ τῆς ζύμης Ἡρῴδου. | Προσέχετε ἑαυτοῖς<br>ἀπὸ τῆς ζύμης, ἥτις ἐστὶν ὑπόκρισις,<br>τῶν Φαρισαίων. |
| **Mt16:7** οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι Ἄρτους οὐκ ἐλάβομεν. | **Mk8:16** καὶ διελογίζοντο πρὸς ἀλλήλους ὅτι Ἄρτους οὐκ ἔχουσιν. | |
| **Mt16:8** γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν, Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, | **Mk8:17** καὶ γνοὺς λέγει αὐτοῖς, Τί διαλογίζεσθε | |
| ὅτι ἄρτους οὐκ ἔχετε; | ὅτι ἄρτους οὐκ ἔχετε; | |
| **Mt16:9** οὔπω νοεῖτε, | οὔπω νοεῖτε οὐδὲ συνίετε; πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; | |
| | **Mk8:18** ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; | |
| οὐδὲ μνημονεύετε | καὶ οὐ μνημονεύετε, | |

| | | |
|---|---|---|
| τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε; | **Mk8:19** ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους κλασμάτων πλήρεις ἤρατε; λέγουσιν αὐτῷ, Δώδεκα. | |
| **Mt16:10** οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε; | **Mk8:20** Ὅτε τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; καὶ λέγουσιν [αὐτῷ], Ἑπτά. | |
| **Mt16:11** πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτων εἶπον ὑμῖν; προσέχετε δὲ ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. | **Mk8:21** καὶ ἔλεγεν αὐτοῖς, Οὔπω συνίετε; | |
| **Mt16:12** τότε συνῆκαν ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ τῆς ζύμης τῶν ἄρτων ἀλλὰ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων. | | |

# 3. On the Way to the Passion

## No. 72 *[158].* Peter's Confession / ペトロのキリスト告白

| Mt 16:13-20 | Mk 8:27-30 | Lk 9:18-21 |
|---|---|---|
| **Mt16:13** Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων, Τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; | **Mk8:27** Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; | **Lk9:18** Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας συνῆσαν αὐτῷ οἱ μαθηταί, καὶ ἐπηρώτησεν αὐτοὺς λέγων, Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι; |
| **Mt16:14** οἱ δὲ εἶπαν, Οἱ μὲν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν. | **Mk8:28** οἱ δὲ εἶπαν αὐτῷ λέγοντες [ὅτι] Ἰωάννην τὸν βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ὅτι εἷς τῶν προφητῶν. | **Lk9:19** οἱ δὲ ἀποκριθέντες εἶπαν, Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. |
| ---------- | ---------- | ---------- |
| ***Mt14:1*** *Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετραάρχης τὴν ἀκοὴν Ἰησοῦ,* ***Mt14:2*** *καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ, Οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ.* | ***Mk6:14*** *Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγον ὅτι Ἰωάννης ὁ βαπτίζων ἐγήγερται ἐκ νεκρῶν καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.*<br>***Mk6:15*** *ἄλλοι δὲ ἔλεγον ὅτι Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ὡς εἷς τῶν προφητῶν.*<br>***Mk6:16*** *ἀκούσας δὲ ὁ Ἡρῴδης ἔλεγεν, Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτος ἠγέρθη.* | ***Lk9:7*** *Ἤκουσεν δὲ Ἡρῴδης ὁ τετραάρχης τὰ γινόμενα πάντα καὶ διηπόρει διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἠγέρθη ἐκ νεκρῶν,*<br>***Lk9:8*** *ὑπό τινων δὲ ὅτι Ἠλίας ἐφάνη, ἄλλων δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.*<br>***Lk9:9*** *εἶπεν δὲ Ἡρῴδης, Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἀκούω τοιαῦτα; καὶ ἐζήτει ἰδεῖν αὐτόν.* |
| ---------- | ---------- | ---------- |
| **Mt16:15** λέγει αὐτοῖς, Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;<br>**Mt16:16** ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν, Σὺ εἶ ὁ Χριστὸς | **Mk8:29** καὶ αὐτὸς ἐπηρώτα αὐτούς, Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς ὁ Πέτρος λέγει αὐτῷ, Σὺ εἶ ὁ Χριστός. | **Lk9:20** εἶπεν δὲ αὐτοῖς, Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Πέτρος δὲ ἀποκριθεὶς εἶπεν, Τὸν Χριστὸν |

ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

**Mt16:17** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ,
Μακάριος εἶ, Σίμων Βαριωνᾶ,
ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

**Mt16:18** κἀγὼ δέ σοι λέγω
ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ᾅδου
οὐ κατισχύσουσιν αὐτῆς.

**Mt16:19** δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν,
καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς
ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς,
καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς
ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

**Mt16:20** τότε διεστείλατο τοῖς μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν
ὅτι αὐτός ἐστιν ὁ Χριστός.

τοῦ θεοῦ.

**Jh6:68** ἀπεκρίθη αὐτῷ Σίμων Πέτρος, Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις, **Jh6:69** καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ θεοῦ.

**Jh1:49** ἀπεκρίθη αὐτῷ Ναθαναήλ, Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ.

**Th13** (1) Εἶπεν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ˙ ὁμοιώσατέ με καὶ εἴπατέ μοι τίνι ὅμοιός εἰμι. (2) εἶπεν αὐτῷ Σίμων Πέτρος˙ ὅμοιος εἶ ἀγγέλῳ δικαίῳ. (3) εἶπεν αὐτῷ Μαθθαῖος˙ ὅμοιος εἶ ἀνθρώπῳ φιλοσόφῳ φρονίμῳ. (4) εἶπεν αὐτω Θωμᾶς˙ διδάσκαλε, ὅλως τὸ στόμα μου οὐ μὴ ἀνάσχηται λέγον, τίνι ὅμοιος εἶ. (5) εἶπεν ὁ Ἰησοῦς˙ οὐκ εἰμὶ ὁ διδάσκαλός σου. ἐπεὶ πιὼν ἐμεθύσθης ἐκ τῆς πηγῆς ζεούσης ἣν ἐμέτρησα.

**Mk8:30** καὶ ἐπετίμησεν αὐτοῖς
ἵνα μηδενὶ λέγωσιν
περὶ αὐτοῦ.

**Lk9:21** Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς
παρήγγειλεν μηδενὶ λέγειν
τοῦτο

## No. 73 *[159].* Jesus Foretells His Passion / 第一回受難復活予告

| Mt 16:21-23 | Mk 8:31-33 | Lk 9:22 |
|---|---|---|
| **Mt16:21** Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν | **Mk8:31** Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ | **Lk9:22** εἰπὼν ὅτι Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ |
| ἀπὸ | ἀποδοκιμασθῆναι ὑπὸ | ἀποδοκιμασθῆναι ἀπὸ |
| τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκτανθῆναι καὶ | τῶν πρεσβυτέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ ἀποκτανθῆναι καὶ | τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκτανθῆναι καὶ |
| ` τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. | μετὰ τρεῖς ἡμέρας ἀναστῆναι˙ **Mk8:32** καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. | ` τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. |
| **Mt16:22** καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ | καὶ προσλαβόμενος ὁ Πέτρος αὐτὸν ἤρξατο ἐπιτιμᾶν αὐτῷ. | |

| | | |
|---|---|---|
| λέγων, Ἵλεώς σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο. | | |
| **Mt16:23** ὁ δὲ στραφεὶς εἶπεν τῷ Πέτρῳ, Ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλον εἶ ἐμοῦ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων. | **Mk8:33** ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ ἐπετίμησεν Πέτρῳ καὶ λέγει, Ὕπαγε ὀπίσω μου, σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων. | |

## No. 74 *[160a].* Take Up Your Cross / 十字架を負いて

| Mt 16:24 | Mk 8:34 | Lk 9:23 |
|---|---|---|
| **Mt16:24** Τότε ὁ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. | **Mk8:34** Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς, Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. | **Lk9:23** Ἔλεγεν δὲ πρὸς πάντας, Εἴ τις θέλει ὀπίσω μου ἔρχεσθαι, ἀρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν καὶ ἀκολουθείτω μοι. |
| ---------- | | ---------- |
| ***Mt10:37*** *Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος·* | **Jh12:26** ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω,.καὶ ὅπου εἰμὶ ἐγὼ ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· ἐάν τις ἐμοὶ διακονῇ τιμήσει αὐτὸν ὁ πατήρ. | ***Lk14:26*** *εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς ἔτι τε καὶ τὴν ψυχὴν ἑαυτοῦ, οὐ δύναταί εἶναί μου μαθητής.* |
| ***Mt10:38*** *καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστιν μου ἄξιος.* | | ***Lk14:27*** *ὅστις οὐ βαστάζει τὸν σταυρὸν ἑαυτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου μαθητής.* |

**Th55** (1) Λέγει Ἰησοῦς· ὅστις οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ οὐ δυνήσεται εἶναί μου μαθητής. (2) καὶ ὅστις οὐ μισεῖ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τὰς ἀδελφὰς αὐτοῦ καὶ οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ ὡς ἐγώ, οὐκ γενήσεται μου ἄξιος.

## No. 75 *[160b]*. The One Who Loses Life Will Gain It / 命を失う者はこれを得る (Cf. No. 120)

| Mt 16:25 | Mk 8:35 | Lk 9:24 |
|---|---|---|
| Mt16:25 ὃς γὰρ ἐὰν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. | Mk8:35 ὃς γὰρ ἐὰν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσει τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου σώσει αὐτήν. | Lk9:24 ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ οὗτος σώσει αὐτήν. |
| ---------- | | ---------- |
| ***Mt10:39*** *ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν.* | Jh12:25 ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολλύει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. | ***Lk17:33*** *ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ περιποιήσασθαι ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ ζῳογονήσει αὐτήν.* |

## No. 76 *[160c]*. In Return for One's Life / 命の代価

| Mt 16:26 | Mk 8:36-37 | Lk 9:25 |
|---|---|---|
| Mt16:26 τί γὰρ ὠφεληθήσεται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; | Mk8:36 τί γὰρ ὠφελεῖ ἄνθρωπον κερδῆσαι τὸν κόσμον ὅλον καὶ ζημιωθῆναι τὴν ψυχὴν αὐτοῦ; Mk8:37 τί γὰρ δοῖ ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; | Lk9:25 τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς; |

Th67* Jesus says: "Whoever knows all, if he is lacking one thing, he is (already) lacking everything." *(*no Greek retranslation available in Aland's Synopsis)*

## No. 77 *[160d]*. One Who Is Ashamed of Me / 我を恥じる者は

| Mt 16:27 | Mk 8:38 | Lk 9:26 |
|---|---|---|

| | | |
|---|---|---|
| Mt16:27 μέλλει γὰρ | Mk8:38 ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ | Lk9:26 ὃς γὰρ ἂν ἐπαισχυνθῇ |
| | με καὶ τοὺς ἐμοὺς λόγους | με καὶ τοὺς ἐμοὺς λόγους, |
| | ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, | τοῦτον |
| ὁ υἱὸς τοῦ ἀνθρώπου | καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου | ὁ υἱὸς τοῦ ἀνθρώπου |
| | ἐπαισχυνθήσεται αὐτὸν, | ἐπαισχυνθήσεται, |
| ἔρχεσθαι ἐν τῇ δόξῃ | ὅταν ἔλθῃ ἐν τῇ δόξῃ | ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ |
| τοῦ πατρὸς αὐτοῦ | τοῦ πατρὸς αὐτοῦ | τοῦ πατρὸς |
| μετὰ τῶν ἀγγέλων αὐτοῦ, | μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. | καὶ τῶν ἁγίων ἀγγέλων. |
| καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. | | - |
| ---------- | | --------- |
| ***Mt10:32*** *Πᾶς οὖν ὅστις* | Cf. No. 106. | ***Lk12:8*** *Λέγω δὲ ὑμῖν, πᾶς ος ἂν* |
| *ὁμολογήσει ἐν ἐμοὶ* | | *ὁμολογήσῃ ἐν ἐμοὶ* |
| *ἔμπροσθεν τῶν ἀνθρώπων,* | | *ἔμπροσθεν τῶν ἀνθρώπων,* |
| *ὁμολογήσω κἀγὼ* | | *καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει* |
| *ἐν αὐτῷ ἔμπροσθεν* | | *ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων* |
| *τοῦ πατρός μου τοῦ ἐν [τοῖς] οὐρανοῖς˙* | | *τοῦ θεοῦ˙* |
| ***Mt10:33*** *ὅστις δ᾽ ἂν ἀρνήσηταί με* | | ***Lk12:9*** *ὁ δὲ ἀρνησάμενός με* |
| *ἔμπροσθεν τῶν ἀνθρώπων,* | | *ἐνώπιον τῶν ἀνθρώπων* |
| *ἀρνήσομαι κἀγὼ αὐτὸν* | | *ἀπαρνηθήσεται* |
| *ἔμπροσθεν τοῦ πατρός μου* | | *ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ.* |
| *τοῦ ἐν [τοῖς] οὐρανοῖς.* | | |

## No. 78 *[160e].* Those Who Do Not Taste Death / 死を味わぬ者たち

| Mt 16:28 | Mk 9:1 | Lk 9:27 |
|---|---|---|
| | Mk9:1 Καὶ ἔλεγεν αὐτοῖς, | |
| Mt16:28 ἀμὴν λέγω ὑμῖν ὅτι | Ἀμὴν λέγω ὑμῖν ὅτι | Lk9:27 λέγω δὲ ὑμῖν ἀληθῶς, |
| εἰσίν τινες τῶν ὧδε ἑστώτων | εἰσίν τινες ὧδε τῶν ἑστηκότων | εἰσίν τινες τῶν αὐτοῦ ἑστηκότων |
| οἵτινες οὐ μὴ γεύσωνται θανάτου | οἵτινες οὐ μὴ γεύσωνται θανάτου | οἳ οὐ μὴ γεύσωνται θανάτου |
| ἕως ἂν ἴδωσιν | ἕως ἂν ἴδωσιν | ἕως ἂν ἴδωσιν |
| τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον | | |
| ἐν τῇ βασιλείᾳ αὐτοῦ. | τὴν βασιλείαν τοῦ θεοῦ | τὴν βασιλείαν τοῦ θεοῦ. |
| | ἐληλυθυῖαν ἐν δυνάμει. | |

## No. 79 *[161]*. The Transfiguration / イエス変容

| Mt 17:1-8 | Mk 9:2-8 | Lk 9:28-36a |
|---|---|---|
| Mt17:1 Καὶ μεθ’ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ’ ἰδίαν. | Mk9:2 Καὶ μετὰ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ’ ἰδίαν μόνους. | Lk9:28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ [καὶ] παραλαβὼν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. |
| Mt17:2 καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. | καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, Mk9:3 καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο στίλβοντα λευκὰ λίαν οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτως λευκᾶναι. | Lk9:29 καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. |
| Mt17:3 καὶ ἰδοὺ ὤφθη αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες μετ’ αὐτοῦ. | Mk9:4 καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωϋσεῖ, καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. | Lk9:30 καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωϋσῆς καὶ Ἠλίας, Lk9:31 οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἤμελλεν πληροῦν ἐν Ἰερουσαλήμ. Lk9:32 ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. |

> Jh1:14b καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας.

| Mt 17:1-8 | Mk 9:2-8 | Lk 9:28-36a |
|---|---|---|
| Mt17:4 ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν τῷ Ἰησοῦ, Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσω ὧδε τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωϋσεῖ μίαν καὶ Ἠλίᾳ μίαν. | Mk9:5 καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, Ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωϋσεῖ μίαν καὶ Ἠλίᾳ μίαν. Mk9:6 οὐ γὰρ ᾔδει τί ἀποκριθῇ, ἔκφοβοι γὰρ ἐγένοντο. | Lk9:33 καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ’ αὐτοῦ εἶπεν ὁ Πέτρος πρὸς τὸν Ιησοῦν, Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ καὶ μίαν Μωϋσεῖ καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. |
| Mt17:5 ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ | | Lk9:34 ταῦτα δὲ αὐτοῦ λέγοντος |

| | | |
|---|---|---|
| νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, | Mk9:7 καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, | ἐγένετο νεφέλη καὶ ἐπεσκίαζεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν αὐτοὺς εἰς τὴν νεφέλην. |
| καὶ ἰδοὺ φωνὴ | καὶ ἐγένετο φωνὴ | Lk9:35 καὶ φωνὴ ἐγένετο |
| ἐκ τῆς νεφέλης λέγουσα, | ἐκ τῆς νεφέλης, | ἐκ τῆς νεφέλης λέγουσα, |
| Οὗτός ἐστιν | Οὗτός ἐστιν | Οὗτός ἐστιν |
| ὁ υἱός μου ὁ ἀγαπητός, | ὁ υἱός μου ὁ ἀγαπητός, | ὁ υἱός μου ὁ ἐκλελεγμένος, |
| ἐν ᾧ εὐδόκησα· | | |
| ἀκούετε αὐτοῦ. | ἀκούετε αὐτοῦ. | αὐτοῦ ἀκούετε. |
| ---------- | ---------- | ---------- |
| ***Mt3:17*** *καὶ ἰδοὺ φωνὴ* | ***Mk1:11*** *καὶ φωνὴ ἐγένετο* | ***Lk3:22b*** *......καὶ φωνὴν* |
| *ἐκ τῶν οὐρανῶν λέγουσα,* | *ἐκ τῶν οὐρανῶν,* | *ἐξ οὐρανοῦ γενέσθαι,* |
| *Οὗτός ἐστιν* | ***Σὺ εἶ*** | ***Σὺ εἶ*** |
| ***ὁ υἱός μου*** *ὁ ἀγαπητός,* | ***ὁ υἱός μου*** *ὁ ἀγαπητός,* | ***ὁ υἱός μου*** *ὁ ἀγαπητός,* |
| *ἐν ᾧ εὐδόκησα.* | *ἐν σοὶ εὐδόκησα.* | *ἐν σοὶ εὐδόκησα.* |
| ---------- | ---------- | ---------- |
| Mt17:6 καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα. | | |
| Mt17:7 καὶ προσῆλθεν ὁ Ἰησοῦς καὶ ἁψάμενος αὐτῶν εἶπεν, Ἐγέρθητε καὶ μὴ φοβεῖσθε. | | |
| Mt17:8 ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ αὐτὸν Ἰησοῦν μόνον. | Mk9:8 καὶ ἐξάπινα περιβλεψάμενοι οὐκέτι οὐδένα εἶδον ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν. | Lk9:36a καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν εὑρέθη Ἰησοῦς μόνος. |

## No. 80 *[162].* The Coming of Elijah / 再来のエリヤについて

| Mt 17:9-13 | Mk 9:9-13 | Lk9:36b |
|---|---|---|
| Mt17:9 Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων, | Mk9:9 Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους διεστείλατο αὐτοῖς | Lk9:36b καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν |
| Μηδενὶ εἴπητε τὸ ὅραμα | ἵνα μηδενὶ ἃ εἶδον διηγήσωνται, | ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑώρακαν. |
| ἕως οὗ | εἰ μὴ ὅταν | ***Lk:9:37*** *Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων* |
| ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἐγερθῇ. | ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. | *αὐτῶν ἀπὸ τοῦ ὄρους* ***......*** |
| | Mk9:10 καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες τί ἐστιν | |

| | | |
|---|---|---|
| | τὸ ἐκ νεκρῶν ἀναστῆναι. | |
| Mt17:10 καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ λέγοντες,<br>Τί οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; | Mk9:11 καὶ ἐπηρώτων αὐτὸν λέγοντες,<br>Ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; | |
| Mt17:11 ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἠλίας μὲν<br>ἔρχεται καὶ ἀποκαταστήσει πάντα· | Mk9:12 ὁ δὲ ἔφη αὐτοῖς, Ἠλίας μὲν<br>ἐλθὼν πρῶτον ἀποκαθιστάνει πάντα·<br>καὶ πῶς γέγραπται<br>ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου<br>ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενηθῇ; | |
| Mt17:12 λέγω δὲ ὑμῖν ὅτι<br>Ἠλίας ἤδη ἦλθεν,<br>καὶ οὐκ ἐπέγνωσαν αὐτὸν ἀλλὰ<br>ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν·<br>οὕτως καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου<br>μέλλει πάσχειν ὑπ’ αὐτῶν. | Mk9:13 ἀλλὰ λέγω ὑμῖν ὅτι<br>καὶ Ἠλίας ἐλήλυθεν,<br>καὶ<br>ἐποίησαν αὐτῷ ὅσα ἤθελον,<br>καθὼς γέγραπται ἐπ’ αὐτόν. | |
| Mt17:13 τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς. | | |

## No. 81 *[163].* Jesus Heals a Boy Possessed by a Spirit / 憑かれた少年の癒し

| Mt 17:14-20a | Mk 9:14-29 | Lk 9:37-43a |
|---|---|---|
| ***Mt17:9*** *Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων, Μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἐγερθῇ.* | ***Mk9:9*** *Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους διεστείλατο αὐτοῖς ἵνα μηδενὶ ἃ εἶδον διηγήσωνται, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.*<br>***Mk9:10*** *καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες τί ἐστιν τὸ ἐκ νεκρῶν ἀναστῆναι.* | Lk:9:37 Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους |
| ---------- | ---------- | |
| Mt17:14 Καὶ ἐλθόντων πρὸς τὸν ὄχλον | Mk9:14 Καὶ ἐλθόντες πρὸς τοὺς μαθητὰς εἶδον ὄχλον πολὺν περὶ αὐτοὺς καὶ γραμματεῖς συζητοῦντας | συνήντησεν αὐτῷ<br>ὄχλος πολύς. |

| | | |
|---|---|---|
| | πρὸς αὐτούς. | |
| προσῆλθεν αὐτῷ | **Mk9:15** καὶ εὐθὺς πᾶς ὁ ὄχλος ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. | |
| | **Mk9:16** καὶ ἐπηρώτησεν αὐτούς, Τί συζητεῖτε πρὸς αὐτούς; | |
| ἄνθρωπος γονυπετῶν αὐτὸν | **Mk9:17** καὶ ἀπεκρίθη αὐτῷ εἷς ἐκ | **Lk9:38** καὶ ἰδοὺ ἀνὴρ |
| **Mt17:15** καὶ λέγων, | τοῦ ὄχλου, | ἀπὸ τοῦ ὄχλου ἐβόησεν λέγων, |
| Κύριε, | Διδάσκαλε, | Διδάσκαλε, δέομαί σου ἐπιβλέψαι |
| ἐλέησόν μου τὸν υἱόν, ὅτι | ἤνεγκα τὸν υἱόν μου πρὸς σέ, | ἐπὶ τὸν υἱόν μου, ὅτι |
| | | μονογενής μοί ἐστιν, |
| σεληνιάζεται καὶ κακῶς πάσχει· | ἔχοντα πνεῦμα ἄλαλον· | **Lk9:39** καὶ ἰδοὺ πνεῦμα |
| πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ | **Mk9:18** καὶ ὅπου ἐὰν αὐτὸν | λαμβάνει αὐτόν |
| καὶ πολλάκις εἰς τὸ ὕδωρ. | καταλάβη | καὶ ἐξαίφνης κράζει καὶ σπαράσσει |
| | ῥήσσει αὐτόν, καὶ ἀφρίζει καὶ | αὐτὸν μετὰ ἀφροῦ καὶ μόγις |
| | τρίζει τοὺς ὀδόντας καὶ ξηραίνεται· | ἀποχωρεῖ ἀπ' αὐτοῦ συντρῖβον |
| | | αὐτόν· |
| **Mt17:16** καὶ προσήνεγκα αὐτὸν | καὶ εἶπα | **Lk9:40** καὶ ἐδεήθην |
| τοῖς μαθηταῖς σου, | τοῖς μαθηταῖς σου ἵνα αὐτὸ | τῶν μαθητῶν σου ἵνα ἐκβάλωσιν |
| καὶ οὐκ ἠδυνήθησαν αὐτὸν | ἐκβάλωσιν, καὶ οὐκ ἴσχυσαν. | αὐτό, καὶ οὐκ ἠδυνήθησαν. |
| θεραπεῦσαι. | | |
| **Mt17:17** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς | **Mk9:19** ὁ δὲ ἀποκριθεὶς αὐτοῖς | **Lk9:41** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς |
| εἶπεν, | λέγει, | εἶπεν, |
| Ὦ γενεὰ ἄπιστος | Ὦ γενεὰ ἄπιστος, | Ὦ γενεὰ ἄπιστος |
| καὶ διεστραμμένη, | | καὶ διεστραμμένη, |
| ἕως πότε μεθ' ὑμῶν ἔσομαι; ἕως πότε | ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε | ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ |
| ἀνέξομαι ὑμῶν; φέρετέ μοι | ἀνέξομαι ὑμῶν; φέρετε | ἀνέξομαι ὑμῶν; προσάγαγε |
| αὐτὸν ὧδε. | αὐτὸν πρός με. | ὧδε τὸν υἱόν σου. |
| **Jh14:9** λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσούτῳ χρόνῳ μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ... | **Mk9:20** καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. καὶ ἰδὼν αὐτὸν τὸ πνεῦμα εὐθὺς συνεσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων. | **Lk9:42** ἔτι δὲ προσερχομένου αὐτοῦ ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν· |
| | **Mk9:21** καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ, Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; ὁ δὲ εἶπεν, Ἐκ παιδιόθεν· | |
| | **Mk9:22** καὶ πολλάκις καὶ εἰς πῦρ αὐτὸν ἔβαλεν καὶ εἰς ὕδατα ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνῃ, βοήθησον | |

| | | |
|---|---|---|
| | ἡμῖν σπλαγχνισθεὶς ἐφ’ ἡμᾶς. | |
| | **Mk9:23** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Τὸ Εἰ δύνῃ, πάντα δυνατὰ τῷ πιστεύοντι. | |
| | **Mk9:24** εὐθὺς κράξας ὁ πατὴρ τοῦ παιδίου ἔλεγεν, Πιστεύω· βοήθει μου τῇ ἀπιστίᾳ. | |
| **Mt17:18** καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς | **Mk9:25** ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησεν τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ, Τὸ ἄλαλον καὶ κωφὸν πνεῦμα, ἐγὼ ἐπιτάσσω σοι, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. | ἐπετίμησεν δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ |
| καὶ ἐξῆλθεν ἀπ’ αὐτοῦ τὸ δαιμόνιον καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. | **Mk9:26** καὶ κράξας καὶ πολλὰ σπαράξας ἐξῆλθεν· καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε τοὺς πολλοὺς λέγειν ὅτι ἀπέθανεν. | καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ. **Lk9:43a** ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ θεοῦ. |
| | **Mk9:27** ὁ δὲ Ἰησοῦς κρατήσας τῆς χειρὸς αὐτοῦ ἤγειρεν αὐτόν, καὶ ἀνέστη. | |
| **Mt17:19** Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ’ ἰδίαν εἶπον, Διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; | **Mk9:28** καὶ εἰσελθόντος αὐτοῦ εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ κατ’ ἰδίαν ἐπηρώτων αὐτόν, Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; | |
| **Mt17:20a** ὁ δὲ λέγει αὐτοῖς, Διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν· | **Mk9:29** καὶ εἶπεν αὐτοῖς, Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ. | |

## No. 82 *[164]*. Jesus Foretells His Passion Again / 第二回受難復活予告

| Mt 17:22-23 | Mk 9:30-32 | Lk 9:43b-45 |
|---|---|---|
| **Mt17:22** Συστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ | **Mk9:30** Κἀκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνοῖ· | **Lk9:43b** Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίει |
| εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, | **Mk9:31** ἐδίδασκεν γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς | εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ, |

| | | |
|---|---|---|
| | | **Lk9:44** Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους˙ |
| Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, | ὅτι Ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, | ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. |
| **Mt17:23** καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. | καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς μετὰ τρεῖς ἡμέρας ἀναστήσεται. | |
| καὶ ἐλυπήθησαν σφόδρα. | | |

**Jh7:1** Καὶ μετὰ ταῦτα περιεπάτει ὁ Ἰησοῦς ἐν τῇ Γαλιλαίᾳ˙ οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

| | | |
|---|---|---|
| | **Mk9:32** οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, | **Lk9:45** οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο καὶ ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν ἵνα μὴ αἴσθωνται αὐτό, |
| | καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι. | καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου. |

**Jh16:6** ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

## No. 83 *[166].* True Greatness / 幼な子を受け入れる者

| Mt 18:1-5 | Mk 9:33-37 | Lk 9:46-48 |
|---|---|---|
| | **Mk9:33** Καὶ ἦλθον εἰς Καφαρναούμ. καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτούς, Τί ἐν τῇ ὁδῷ διελογίζεσθε; | **Lk9:46** Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς, |
| **Mt18:1** Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες, | **Mk9:34** οἱ δὲ ἐσιώπων˙ πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ | |
| Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; | τίς μείζων. | τὸ τίς ἂν εἴη μείζων αὐτῶν. |
| | **Mk9:35*** καὶ καθίσας ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς, Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος. | *Cf. Mk10:43-44par (No. 137). |

**Th12** (1) Εἶπον οἱ μαθηταὶ τῷ Ἰησοῦ˙ οἴδαμεν ὅτι ὑπάγεις ἀφ᾽ ἡμῶν. τίς ἔσται (ὁ) μέγας ἐφ᾽ ἡμᾶς; (2) εἶπεν Ἰησοῦς αὐτοῖς˙ ὅπου ἐὰν ἔλθητε, πορεύσεσθε πρὸς τὸν Ἰάκωβον τὸν δίκαιον, οὗ χάριν ὁ οὐρανὸς καὶ ἡ γῆ ἐγένοντο.

| Mt | Mk | Lk |
|---|---|---|
| | | Lk9:47 ὁ δὲ Ἰησοῦς εἰδὼς τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος |
| Mt18:2 καὶ προσκαλεσάμενος παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν | Mk9:36 καὶ λαβὼν παιδίον ἔστησεν αὐτὸ ` ἐν μέσῳ αὐτῶν | παιδίον ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ |
| Mt18:3a καὶ εἶπεν, | καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς, ---------- | Lk9:48 καὶ εἶπεν αὐτοῖς, ---------- |
| Mt18:3b Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. | *Mk10:15 ἀμὴν λέγω ὑμῖν, ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.* ---------- | *Lk18:17 ἀμὴν λέγω ὑμῖν, ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.* ---------- |
| Mt18:4 ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. | Jh13:20 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἄν τινα πέμψω ἐμὲ λαμβάνει, ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με. Jh12:44 Ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν᾽ Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλὰ εἰς τὸν πέμψαντά με, Jh12:45 καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν | |
| Mt18:5 καὶ ὃς ἐὰν δέξηται ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. | Mk9:37 Ὃς ἂν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται᾽ καὶ ὃς ἂν ἐμὲ δέχηται, οὐκ ἐμὲ δέχεται ἀλλὰ τὸν ἀποστείλαντά με. | Ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται᾽ καὶ ὃς ἂν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με᾽ ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων οὗτός ἐστιν μέγας. |

## No. 84 *[104b.. 167].* The Strange Exorcist / 他派の悪霊払い

| Mt 10:42 | Mk 9:38-41 | Lk 9:49-50 |
|---|---|---|
| | Mk9:38 Ἔφη αὐτῷ ὁ Ἰωάννης, | Lk9:49 Ἀποκριθεὶς δὲ Ἰωάννης εἶπεν, |
| | Διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, | Ἐπιστάτα, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια |

| | | |
|---|---|---|
| | καὶ ἐκωλύομεν αὐτόν,<br>ὅτι οὐκ ἠκολούθει ἡμῖν.<br>Mk9:39 ὁ δὲ Ἰησοῦς εἶπεν,<br><br>Μὴ κωλύετε αὐτόν.<br>οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν<br>ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται<br>ταχὺ κακολογῆσαί με˙<br>Mk9:40 ὃς γὰρ οὐκ ἔστιν καθ’<br>ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. | καὶ ἐκωλύομεν αὐτόν,<br>ὅτι οὐκ ἀκολουθεῖ μεθ’ ἡμῶν.<br>Lk9:50 εἶπεν δὲ πρὸς αὐτὸν<br>ὁ Ἰησοῦς,<br>Μὴ κωλύετε˙<br><br><br><br>ὃς γὰρ οὐκ ἔστιν καθ’<br>ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν. |
| Mt10:42 καὶ ὃς ἂν ποτίσῃ<br>ἕνα τῶν μικρῶν τούτων<br>ποτήριον ψυχροῦ μόνον<br>εἰς ὄνομα μαθητοῦ,<br>ἀμὴν λέγω ὑμῖν,<br>οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. | Mk9:41 Ὃς γὰρ ἂν ποτίσῃ<br>ὑμᾶς<br>ποτήριον ὕδατος<br>ἐν ὀνόματι ὅτι Χριστοῦ ἐστε,<br>ἀμὴν λέγω ὑμῖν ὅτι<br>οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. | |

## No. 85 *[168a. 229]*. Millstone around Your Neck / 挽き臼を首に

| Mt 18:6 | Mk 9:42 | Lk 17:2 |
|---|---|---|
| Mt18:6 Ὃς δ’ ἂν σκανδαλίσῃ<br>ἕνα τῶν μικρῶν τούτων τῶν<br>πιστευόντων εἰς ἐμέ,<br>συμφέρει αὐτῷ ἵνα<br>κρεμασθῇ μύλος ὀνικὸς<br>περὶ τὸν τράχηλον αὐτοῦ<br>καὶ καταποντισθῇ<br>ἐν τῷ πελάγει τῆς θαλάσσης. | Mk9:42 Καὶ ὃς ἂν σκανδαλίσῃ<br>ἕνα τῶν μικρῶν τούτων τῶν<br>πιστευόντων [εἰς ἐμέ],<br>καλόν ἐστιν αὐτῷ μᾶλλον<br>εἰ περίκειται μύλος ὀνικὸς<br>περὶ τὸν τράχηλον αὐτοῦ<br>καὶ βέβληται<br>εἰς τὴν θάλασσαν. | <br><br><br>Lk17:2 λυσιτελεῖ αὐτῷ<br>εἰ λίθος μυλικὸς περίκειται<br>περὶ τὸν τράχηλον αὐτοῦ<br>καὶ ἔρριπται<br>εἰς τὴν θάλασσαν<br>ἢ ἵνα σκανδαλίσῃ τῶν μικρῶν<br>τούτων ἕνα. |

## No. 86 *[56b. 168b]*. Cut It Off / 切り棄てよ

| Mt 5:29-30 | Mt 18:8-9 | Mk 9:43-48 | Lk |
|---|---|---|---|
| Mt5:30 καὶ εἰ ἡ δεξιά σου<br>χεὶρ | Mt18:8 Εἰ δὲ<br>ἡ χείρ σου ἢ ὁ πούς σου | Mk9:43 Καὶ ἐὰν σκανδαλίζῃ σε<br>ἡ χείρ σου, | |

| | | |
|---|---|---|
| σκανδαλίζει σε, | σκανδαλίζει σε, | |
| ἔκκοψον αὐτὴν | ἔκκοψον αὐτὸν | ἀπόκοψον αὐτήν˙ |
| καὶ βάλε ἀπὸ σου˙ | καὶ βάλε ἀπὸ σοῦ˙ | |
| συμφέρει γάρ σοι | καλόν σοί ἐστιν | καλόν ἐστίν σε κυλλὸν |
| ἵνα ἀπόληται | εἰσελθεῖν εἰς τὴν ζωὴν | εἰσελθεῖν εἰς τὴν ζωὴν |
| ἓν τῶν μελῶν σου | κυλλὸν ἢ χωλόν | |
| | ἢ δύο χεῖρας ἢ δύο πόδας | ἢ τὰς δύο χεῖρας |
| καὶ μὴ ὅλον τὸ σῶμά σου | ἔχοντα | ἔχοντα |
| εἰς γέενναν ἀπέλθη. | βληθῆναι | ἀπελθεῖν εἰς τὴν γέενναν, |
| | εἰς τὸ πῦρ τὸ αἰώνιον. | εἰς τὸ πῦρ τὸ ἄσβεστον. |
| ---------- | | |
| | | **Mk9:45** καὶ ἐὰν ὁ πούς σου |
| | | σκανδαλίζῃ σε, |
| | | ἀπόκοψον αὐτόν˙ |
| | | καλόν ἐστίν |
| | | σε εἰσελθεῖν |
| | | εἰς τὴν ζωὴν χωλὸν |
| | | ἢ τοὺς δύο πόδας |
| | | ἔχοντα |
| | | βληθῆναι εἰς τὴν γέενναν. |
| **Mt5:29** εἰ δὲ | **Mt18:9** καὶ εἰ | **Mk9:47** καὶ ἐὰν |
| ὁ ὀφθαλμός σου ὁ δεξιὸς | ὁ ὀφθαλμός σου | ὁ ὀφθαλμός σου |
| σκανδαλίζει σε, | σκανδαλίζει σε , | σκανδαλίζῃ σε , |
| ἔξελε αὐτὸν | ἔξελε αὐτὸν | |
| καὶ βάλε ἀπὸ σου˙ | καὶ βάλε ἀπὸ σοῦ˙ | ἔκβαλε αὐτὸν ˙ |
| συμφέρει γάρ σοι | καλόν σοί ἐστιν | καλόν σέ ἐστιν |
| ἵνα ἀπόληται | μονόφθαλμον | μονόφθαλμον εἰσελθεῖν |
| ἓν τῶν μελῶν σου | εἰς τὴν ζωὴν εἰσελθεῖν | εἰς τὴν βασιλείαν τοῦ θεοῦ |
| καὶ μὴ ὅλον τὸ σῶμά σου | ἢ δύο ὀφθαλμοὺς ἔχοντα | ἢ δύο ὀφθαλμοὺς ἔχοντα |
| βληθῇ εἰς γέενναν. | βληθῆναι εἰς τὴν γέενναν | βληθῆναι εἰς τὴν γέενναν, |
| | | **Mk9:48** ὅπου ὁ σκώληξ αὐτῶν οὐ |
| | τοῦ πυρός. | τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. |

## No. 87 *[52. 168c. 218].* On Salt / 塩について

| Mt 5:13 | Mk9:49-50 | Lk14:34-35 |
|---|---|---|
| **Mt5:13** Ὑμεῖς ἐστε | **Mk9:49** πᾶς γὰρ πυρὶ ἁλισθήσεται. | |
| τὸ ἅλας τῆς γῆς˙ | **Mk9:50** Καλὸν τὸ ἅλας˙ | **Lk14:34** Καλὸν οὖν τὸ ἅλας˙ |

| | | |
|---|---|---|
| ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, | ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, | ἐὰν δὲ καὶ τὸ ἅλας μωρανθῇ, |
| ἐν τίνι ἁλισθήσεται; | ἐν τίνι αὐτὸ ἀρτύσετε; | ἐν τίνι ἀρτυθήσεται; |
| εἰς οὐδὲν ἰσχύει ἔτι | | **Lk14:35a** οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν, |
| εἰ μὴ βληθὲν ἔξω καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. | | ἔξω βάλλουσιν αὐτό. |
| | | **Lk14:35b** ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. |
| | ἔχετε ἐν ἑαυτοῖς ἅλα καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. | As for Lk14:35b, cf. Mk4:9（No. 45）. |

## No. 88 *[89. 176].* Would-Be Followers / 信従志願者たち

| Mt 8:18-22 | Mk | Lk 9:57-62 |
|---|---|---|
| **Mt8:18** Ἰδὼν δὲ ὁ Ἰησοῦς ὄχλον περὶ αὐτὸν ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. | | |
| **Mt8:19** καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ, | | **Lk9:57** Καὶ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς αὐτόν, |
| Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. | | Ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. |
| **Mt8:20** καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, | | **Lk9:58** καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, |
| Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν | | Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν |
| καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, | | καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, |
| ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. | | ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. |

**Th86** (1) Λέγει Ἰησοῦς˙ [αἱ ἀλώπεκες ἔχου]σιν τοὺς [φωλεοὺς αὐτῶν] καὶ τὰ πετεινὰ ἔχει [τὴν] κατασκήνωσιν αὐτῶν, (2) ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν αὐτοῦ κλίνῃ καὶ ἀναπαύσηται.

| Mt 8:18-22 | Mk | Lk 9:57-62 |
|---|---|---|
| | | **Lk9:59** Εἶπεν δὲ πρὸς ἕτερον, Ἀκολούθει μοι. |
| **Mt8:21** ἕτερος δὲ τῶν μαθητῶν [αὐτοῦ] εἶπεν αὐτῷ, | | ὁ δὲ εἶπεν, |
| Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν | | [Κύριε,] ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον |
| καὶ θάψαι τὸν πατέρα μου. | | θάψαι τὸν πατέρα μου. |
| **Mt8:22** ὁ δὲ Ἰησοῦς λέγει αὐτῷ, | | **Lk9:60** εἶπεν δὲ αὐτῷ, |
| Ἀκολούθει μοι καὶ | | |
| ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. | | Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, |
| | | σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ. |
| | | **Lk9:61** Εἶπεν δὲ καὶ ἕτερος, |
| | | Ἀκολουθήσω σοι, |
| | | κύριε˙ πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς |

| | | |
|---|---|---|
| | | εἰς τὸν οἶκόν μου.<br>Lk9:62 εἶπεν δὲ [πρὸς αὐτὸν] ὁ Ἰησοῦς, Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω εὔθετός ἐστιν τῇ βασιλείᾳ τοῦ θεοῦ. |

## No. 89 *[98. 177a].* The Harvest Is Plentiful / 収穫は多し

| Mt 9:37-38 | Mk | Lk 10:2 |
|---|---|---|
| Mt9:37 τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ,<br>Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι·<br>Mt9:38 δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ<br>ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. | | Lk10:2 ἔλεγεν δὲ πρὸς αὐτούς,<br>Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι·<br>δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ<br>ὅπως ἐργάτας ἐκβάλῃ εἰς τὸν θερισμὸν αὐτοῦ. |

Th73 Λέγει Ἰησοῦς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε δὲ τοῦ κυρίου ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμόν.

## No. 90 *[142. 177b].* Commissioning Speech for the Disciples / 弟子派遣説教 (Cf. No. 59)

| Mt 10:5-16 | Mk 6:8-11 | Lk 9:3-5 | Lk 10:3-12 |
|---|---|---|---|
| | *A: Mainly according to the sequence of Lk10* | | |
| Mt10:5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων·<br>εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαριτῶν μὴ εἰσέλθητε·<br>Mt10:6 πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.<br>----------<br>Mt10:16 Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς<br>ὡς πρόβατα<br>ἐν μέσῳ λύκων· | Mk6:8a καὶ παρήγγειλεν αὐτοῖς ἵνα | Lk9:3a καὶ εἶπεν πρὸς αὐτούς, | *Lk10:2 ἔλεγεν δὲ πρὸς αὐτούς,*<br>*Ὁ μὲν θερισμὸς πολύς......*<br><br>Lk10:3 ὑπάγετε· ἰδοὺ ἀποστέλλω ὑμᾶς<br>ὡς ἄρνας<br>ἐν μέσῳ λύκων. |

| | | | |
|---|---|---|---|
| γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. | | | |

**Th39** (1) Λέγει Ἰησοῦς· οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἔλαβον τὰς κλεῖδας τῆς γνώσεως, ἔκρυψαν αὐτάς. (2) οὔτε εἰσῆλθον,καὶ τοὺς θέλοντας εἰσελθεῖν ἀφῆκαν. (3) ὑμεῖς δὲ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

**POxy 655** col. ii , 11-23 [Λέγει Ἰ(ησοῦ)ς· οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς] ἔλ[αβον τὰς κλεῖδας] τῆς [γνώσεως. αὐτοὶ ἔ]κρυψ[αν αὐτάς. οὔτε] εἰσῆλ[θον, οὔτε τοὺς] εἰσερ[χομένους ἀφῆ]καν [εἰσελθεῖν. ὑμεῖς] δὲ γεί[νεσθε φρόνι]μοι ὡ[ς ὄφεις καὶ ἀ]κέραι[οι ὡς περιστε]ρα[ί].

| | | | |
|---|---|---|---|
| ---------- | | | |
| **Mt10:9** Μὴ κτήσησθε | | | **Lk10:4** μὴ βαστάζετε |
| χρυσὸν | | | |
| μηδὲ ἄργυρον | **Mk6:8b** μηδὲν αἴρωσιν | **Lk9:3b** Μηδὲν αἴρετε | |
| μηδὲ χαλκὸν | εἰς ὁδὸν | εἰς τὴν ὁδόν, | βαλλάντιον, |
| εἰς τὰς ζώνας ὑμῶν, | εἰ μὴ ῥάβδον μόνον, | μήτε ῥάβδον | |
| **Mt10:10a** μὴ πήραν | μὴ ἄρτον,μὴ πήραν, | μήτε πήραν μήτε ἄρτον | μὴ πήραν, |
| εἰς ὁδὸν | μὴ εἰς τὴν ζώνην χαλκόν, | μήτε ἀργύριον, | |
| μηδὲ δύο χιτῶνας | **Mk6:9** ἀλλὰ | | |
| μηδὲ ὑποδήματα | ὑποδεδεμένους σανδάλια, | | μὴ ὑποδήματα, |
| μηδὲ ῥάβδον | καὶ μὴ ἐνδύσησθε | μήτε [ἀνὰ] | |
| | δύο χιτῶνας. | δύο χιτῶνας ἔχειν. | καὶ μηδένα κατὰ τὴν ὁδὸν |
| ---------- | | | ἀσπάσησθε. |
| | **Mk6:10** καὶ ἔλεγεν | **Lk9:4** καὶ | |
| | αὐτοῖς, | | |
| **Mt10:12** εἰσερχόμενοι δὲ | Ὅπου ἐὰν | εἰς ἣν ἂν | **Lk10:5** εἰς ἣν δ' ἂν |
| εἰς τὴν οἰκίαν | εἰσέλθητε εἰς οἰκίαν, | οἰκίαν εἰσέλθητε, | εἰσέλθητε οἰκίαν, |
| ἀσπάσασθε αὐτήν . | | | πρῶτον λέγετε, |
| | | | Εἰρήνη τῷ οἴκῳ τούτῳ. |
| **Mt10:13** καὶ ἐὰν μὲν ᾖ ἡ | | | **Lk10:6** καὶ ἐὰν ἐκεῖ ᾖ |
| οἰκία ἀξία, | | | υἱὸς εἰρήνης, |
| ἐλθάτω ἡ εἰρήνη ὑμῶν | | | ἐπαναπαήσεται ἐπ' αὐτὸν |
| ἐπ' αὐτήν, | | | ἡ εἰρήνη ὑμῶν· |
| ἐὰν δὲ μὴ ᾖ ἀξία, | | | εἰ δὲ μή γε, |
| ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς | | | ἐφ' ὑμᾶς |
| ἐπιστραφήτω. | | | ἀνακάμψει. |

| Mt | Mk | Lk 9 | Lk 10 |
|---|---|---|---|
| ---------- | | | Lk10:7 ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ |
| Mt10:11b ..... | | | |
| κἀκεῖ μείνατε | ἐκεῖ μένετε | ἐκεῖ μένετε | μένετε |
| ἕως ἂν ἐξέλθητε. | ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. | καὶ ἐκεῖθεν ἐξέρχεσθε. | |
| ---------- | | | ἐσθίοντες καὶ πίνοντες τὰ παρ᾽ αὐτῶν˙ |
| Mt10:10b ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. | | | ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. |
| Mt10:11a εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστιν˙.... | | | Lk10:8 καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν |
| ---------- | | ---------- | |
| Mt10:7 πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. | | *Lk9:2 καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ καὶ ἰᾶσθαι [τοὺς ἀσθενεῖς],* | Lk10:9 καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς καὶ λέγετε αὐτοῖς, Ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. |
| Mt10:8 ἀσθενοῦντας θεραπεύετε, νεκροὺς ἐγείρετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε˙ δωρεὰν ἐλάβετε, δωρεὰν δότε. | | | |

Th14 (4) καὶ ὅταν εἰσέρχησθε εἰς πᾶσαν γῆν καὶ περιπατῆτε ἐν ταῖς χώραις, ὅταν παραδέχωνται ὑμᾶς, ἐσθίετε τὸ παρατιθέμενον ὑμῖν (καὶ) θεραπεύετε τοὺς ἀσθενεῖς ἐν αὐτοῖς.

| Mt | Mk | Lk 9 | Lk 10 |
|---|---|---|---|
| ---------- | | ---------- | |
| Mt10:14 καὶ ὃς ἂν | Mk6:11 καὶ ὃς ἂν τόπος | Lk9:5 καὶ ὅσοι ἂν | Lk10:10 εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέλθητε |
| μὴ δέξηται ὑμᾶς | μὴ δέξηται ὑμᾶς | μὴ δέχωνται ὑμᾶς , | καὶ μὴ δέχωνται ὑμᾶς , |
| μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, | μηδὲ ἀκούσωσιν ὑμῶν, | | |
| ἐξερχόμενοι ἔξω τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης | ἐκπορευόμενοι ἐκεῖθεν | ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης | ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς εἴπατε, |
| | | | Lk10:11 Καὶ |
| ἐκτινάξατε | ἐκτινάξατε | | |
| τὸν κονιορτὸν | τὸν χοῦν | τὸν κονιορτὸν | τὸν κονιορτὸν |

| | | | |
|---|---|---|---|
| | | | τὸν κολληθέντα ἡμῖν |
| | τὸν ὑποκάτω | ἀπὸ | ἐκ τῆς πόλεως ὑμῶν |
| τῶν ποδῶν ὑμῶν. | τῶν ποδῶν ὑμῶν | τῶν ποδῶν ὑμῶν | εἰς τοὺς πόδας |
| - | | ἀποτινάσσετε | ἀπομασσόμεθα ὑμῖν˙ |
| | εἰς μαρτύριον αὐτοῖς. | εἰς μαρτύριον ἐπ᾽ αὐτούς. | πλὴν τοῦτο γινώσκετε ὅτι<br>ἤγγικεν ἡ βασιλεία τοῦ<br>θεοῦ. |
| **Mt10:15** ἀμὴν λέγω ὑμῖν,<br>ἀνεκτότερον ἔσται<br>γῇ Σοδόμων καὶ Γομόρρων<br>ἐν ἡμέρᾳ κρίσεως<br>ἢ τῇ πόλει ἐκείνῃ. | | | **Lk10:12** λέγω ὑμῖν ὅτι<br>Σοδόμοις<br>ἐν τῇ ἡμέρᾳ ἐκείνῃ<br>ἀνεκτότερον ἔσται<br>ἢ τῇ πόλει ἐκείνῃ. |
| ---------- | ------------ | ------------ | ---------- |

***B: Mainly according to the sequence of Mt10***

| | | | |
|---|---|---|---|
| **Mt10:5** Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων˙ εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαριτῶν μὴ εἰσέλθητε˙ | **Mk6:8a** καὶ παρήγγειλεν αὐτοῖς ἵνα | **Lk9:3a** καὶ εἶπεν πρὸς αὐτούς, | ***Lk10:2*** *ἔλεγεν δὲ πρὸς αὐτούς,*<br>*Ὁ μὲν θερισμὸς πολύς......*<br>---------- |
| **Mt10:6** πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. | | | |
| **Mt10:7** πορευόμενοι δὲ κηρύσσετε λέγοντες | | ---------- | |
| | | ***Lk9:2*** *καὶ ἀπέστειλεν αὐτοὺς*<br>*κηρύσσειν* | **Lk10:9** καὶ θεραπεύετε<br>τοὺς ἐν αὐτῇ ἀσθενεῖς<br>καὶ λέγετε αὐτοῖς, |
| ὅτι Ἤγγικεν<br>ἡ βασιλεία τῶν οὐρανῶν. | | *τὴν βασιλείαν τοῦ θεοῦ* | Ἤγγικεν ἐφ᾽ ὑμᾶς<br>ἡ βασιλεία τοῦ θεοῦ. |
| **Mt10:8** ἀσθενοῦντας<br>θεραπεύετε,<br>νεκροὺς ἐγείρετε,<br>λεπροὺς καθαρίζετε,<br>δαιμόνια ἐκβάλλετε˙<br>δωρεὰν ἐλάβετε, δωρεὰν δότε. | | *καὶ ἰᾶσθαι [τοὺς ἀσθενεῖς],* | ---------- |

| | | | |
|---|---|---|---|
| **Mt10:9** Μὴ κτήσησθε | | | **Lk10:4** μὴ βαστάζετε |
| χρυσὸν | | | |
| μηδὲ ἄργυρον | **Mk6:8b** μηδὲν αἴρωσιν | **Lk9:3b** Μηδὲν αἴρετε | |
| μηδὲ χαλκὸν | εἰς ὁδὸν | εἰς τὴν ὁδόν, | βαλλάντιον, |
| εἰς τὰς ζώνας ὑμῶν, | εἰ μὴ ῥάβδον μόνον, | μήτε ῥάβδον | |
| **Mt10:10a** μὴ πήραν | μὴ ἄρτον, μὴ πήραν , | μήτε πήραν μήτε ἄρτον | μὴ πήραν , |
| εἰς ὁδὸν | μὴ εἰς τὴν ζώνην χαλκόν, | μήτε ἀργύριον, | |
| | **Mk6:9** ἀλλὰ | | |
| μηδὲ δύο χιτῶνας | | | |
| μηδὲ ὑποδήματα | ὑποδεδεμένους σανδάλια, | | μὴ ὑποδήματα, |
| μηδὲ ῥάβδον | καὶ μὴ ἐνδύσησθε | μήτε [ἀνὰ] | καὶ μηδένα κατὰ τὴν ὁδὸν |
| | δύο χιτῶνας. | δύο χιτῶνας ἔχειν. | ἀσπάσησθε |
| | | | ---------- |
| **Mt10:10b** ἄξιος γὰρ | | | **Lk10:7b** ἄξιος γὰρ |
| ὁ ἐργάτης τῆς τροφῆς | | | ὁ ἐργάτης τοῦ μισθοῦ |
| αὐτοῦ. | | | αὐτοῦ. |
| | | | μὴ μεταβαίνετε ἐξ οἰκίας |
| | | | εἰς οἰκίαν. |
| **Mt10:11a** εἰς ἣν δ' ἂν | **Mk6:10a** καὶ ἔλεγεν | **Lk9:4a** καὶ | **Lk10:8** καὶ εἰς ἣν ἂν |
| πόλιν ἢ κώμην | αὐτοῖς, | | πόλιν εἰσέρχησθε καὶ |
| εἰσέλθητε, ἐξετάσατε τίς ἐν | ---------- | ---------- | δέχωνται ὑμᾶς, ἐσθίετε τὰ |
| αὐτῇ ἄξιός ἐστιν· | **Th14** (4) καὶ ὅταν εἰσέρχησθε εἰς πᾶσαν γῆν καὶ περιπατῆτε ἐν ταῖς χώραις, ὅταν παραδέχωνται ὑμᾶς, ἐσθίετε τὸ παρατιθέμενον ὑμῖν (καὶ) θεραπεύετε τοὺς ἀσθενεῖς ἐν αὐτοῖς. | | παρατιθέμενα ὑμῖν |
| | | | ---------- |
| **Mt10:11b** | | | **Lk10:7a** ἐν αὐτῇ δὲ τῇ |
| κἀκεῖ μείνατε | **Mk6:10c** ἐκεῖ μένετε | **Lk9:4c** ἐκεῖ μένετε | οἰκίᾳ μένετε |
| ἕως ἂν ἐξέλθητε. | ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. | καὶ ἐκεῖθεν ἐξέρχεσθε. | |
| | | | ἐσθίοντες καὶ πίνοντες |
| | | | τὰ παρ' αὐτῶν· |
| | ---------- | ---------- | ---------- |
| **Mt10:12** εἰσερχόμενοι δὲ | **Mk6:10b** Ὅπου ἐὰν | **Lk9:4b** εἰς ἣν ἂν | **Lk10:5** εἰς ἣν δ' ἂν |
| εἰς τὴν οἰκίαν | εἰσέλθητε εἰς οἰκίαν, | οἰκίαν εἰσέλθητε, | εἰσέλθητε οἰκίαν, |
| ἀσπάσασθε αὐτήν . | | | πρῶτον λέγετε, |
| | | | Εἰρήνη τῷ οἴκῳ τούτῳ. |
| **Mt10:13** καὶ ἐὰν μὲν ᾖ ἡ | | | **Lk10:6** καὶ ἐὰν ἐκεῖ ᾖ |
| οἰκία ἀξία, | | | υἱὸς εἰρήνης, |
| ἐλθάτω ἡ εἰρήνη ὑμῶν | | | ἐπαναπαήσεται ἐπ' αὐτὸν |
| ἐπ' αὐτήν, | | | ἡ εἰρήνη ὑμῶν· |

| | | | |
|---|---|---|---|
| ἐὰν δὲ μὴ ᾖ ἀξία,<br>ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς<br>ἐπιστραφήτω. | | | εἰ δὲ μή γε,<br>ἐφ’ ὑμᾶς<br>ἀνακάμψει.<br>---------- |
| **Mt10:14** καὶ ὃς ἂν | **Mk6:11** καὶ ὃς ἂν τόπος | **Lk9:5** καὶ ὅσοι ἂν | **Lk10:10** εἰς ἣν δ’ ἂν πόλιν εἰσέλθητε |
| μὴ δέξηται ὑμᾶς | μὴ δέξηται ὑμᾶς | μὴ δέχωνται ὑμᾶς , | καὶ μὴ δέχωνται ὑμᾶς , |
| μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, | μηδὲ ἀκούσωσιν ὑμῶν, | | |
| ἐξερχόμενοι ἔξω τῆς οἰκίας<br>ἢ τῆς πόλεως ἐκείνης | ἐκπορευόμενοι<br>ἐκεῖθεν | ἐξερχόμενοι<br>ἀπὸ τῆς πόλεως ἐκείνης | ἐξελθόντες<br>εἰς τὰς πλατείας αὐτῆς<br>εἴπατε, |
| ἐκτινάξατε<br>τὸν κονιορτὸν | ἐκτινάξατε<br>τὸν χοῦν | τὸν κονιορτὸν | **Lk10:11** Καὶ<br>τὸν κονιορτὸν<br>τὸν κολληθέντα ἡμῖν |
| | τὸν ὑποκάτω | ἀπὸ | ἐκ τῆς πόλεως ὑμῶν |
| τῶν ποδῶν ὑμῶν | τῶν ποδῶν ὑμῶν | τῶν ποδῶν ὑμῶν | εἰς τοὺς πόδας |
| | | ἀποτινάσσετε | ἀπομασσόμεθα ὑμῖν˙ |
| | εἰς μαρτύριον αὐτοῖς. | εἰς μαρτύριον ἐπ’ αὐτούς. | πλὴν τοῦτο γινώσκετε<br>ὅτι ἤγγικεν<br>ἡ βασιλεία τοῦ θεοῦ. |
| **Mt10:15** ἀμὴν λέγω ὑμῖν,<br>ἀνεκτότερον ἔσται<br>γῇ Σοδόμων καὶ Γομόρρων<br>ἐν ἡμέρᾳ κρίσεως<br>ἢ τῇ πόλει ἐκείνῃ. | | | **Lk10:12** λέγω ὑμῖν ὅτι<br>Σοδόμοις ἐν τῇ ἡμέρᾳ<br>ἐκείνῃ<br>ἀνεκτότερον ἔσται<br>ἢ τῇ πόλει ἐκείνῃ.<br>---------- |
| **Mt10:16** Ἰδοὺ ἐγὼ<br>ἀποστέλλω ὑμᾶς<br>ὡς πρόβατα<br>ἐν μέσῳ λύκων˙<br>γίνεσθε οὖν φρόνιμοι<br>ὡς οἱ ὄφεις<br>καὶ ἀκέραιοι<br>ὡς αἱ περιστεραί. | | | **Lk10:3** ὑπάγετε˙ ἰδοὺ<br>ἀποστέλλω ὑμᾶς<br>ὡς ἄρνας<br>ἐν μέσῳ λύκων. |

**Th39** (1) Λέγει Ἰησοῦς˙ οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἔλαβον τὰς κλεῖδας τῆς γνώσεως, ἔκρυψαν αὐτάς. (2) οὔτε εἰσῆλθον,καὶ τοὺς θέλοντας εἰσελθεῖν ἀφῆκαν. (3) ὑμεῖς δὲ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

**POxy 655** col. ii , 11-23 [Λέγει Ἰ(ησοῦ)ς˙ οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς] ἔλ[αβον τὰς κλεῖδας] τῆς [γνώσεως. αὐτοὶ ἔ]κρυψ[αν αὐτάς. οὔτε] εἰσῆλ[θον, οὔτε τοὺς] εἰσερ[χομένους ἀφῆ]καν [εἰσελθεῖν. ὑμεῖς] δὲ γεί[νεσθε φρόνι]μοι ὡ[ς ὄφεις καὶ ἀ]κέραι[οι ὡς περιστε]ρα[ί].

## No. 91 *[108. 178].* Woes on Galilaean Cities / ガリラヤの町々は禍い

| Mt 11:20-24 | Mk | Lk 10:13-15 |
|---|---|---|
| Mt11:20 Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις<br>ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ,<br>ὅτι οὐ ετενόησαν˙ | | |
| Mt11:21 Οὐαί σοι, Χοραζίν,<br>οὐαί σοι, Βηθσαϊδά˙<br>ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο<br>αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν,<br>πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ<br>μετενόησαν. | | Lk10:13 Οὐαί σοι, Χοραζίν,<br>οὐαί σοι, Βηθσαϊδά˙<br>ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγενήθησαν<br>αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν,<br>πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμενοι<br>μετενόησαν. |
| Mt11:22 πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι<br>ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν. | | Lk10:14 πλὴν Τύρῳ καὶ Σιδῶνι<br>ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν. |
| Mt11:23 καὶ σύ, Καφαρναούμ,<br>μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ;<br>ἕως ᾅδου καταβήσῃ˙<br>ὅτι εἰ ἐν Σοδόμοις ἐγενήθησαν<br>αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί,<br>ἔμεινεν ἂν μέχρι τῆς σήμερον. | | Lk10:15 καὶ σύ, Καφαρναούμ,<br>μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ;<br>ἕως τοῦ ᾅδου καταβήσῃ. |
| Mt11:24 πλὴν λέγω ὑμῖν ὅτι<br>γῆ Σοδόμων ἀνεκτότερον ἔσται<br>ἐν ἡμέρᾳ κρίσεως ἢ σοί. | | |

## No. 92 *[104a. 179].* He Who Hears You …/ 汝等に聞き従う者

| Mt 10:40 | Mk | Lk 10:16 |
|---|---|---|
| Mt10:40 Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται,<br>καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. | | Lk10:16 Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει,<br>καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ˙<br>ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖτὸν ἀποστείλαντά με. |

Jh5:23 ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν.

Jh15:23 ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ.

## No. 93 *[109a. 181a].* Jesus' Thanksgiving to the Father / 父への感謝

| Mt 11:25-26 | Mk | Lk 10:21 |
|---|---|---|
| Mt11:25 Ἐν ἐκείνῳ τῷ καιρῷ<br>ἀποκριθεὶς ὁ Ἰησοῦς<br>εἶπεν,<br>Ἐξομολογοῦμαί σοι,<br>πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς,<br>ὅτι ἔκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν<br>καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις·<br>Mt11:26 ναί ὁ πατήρ, ὅτι οὕτως εὐδοκία<br>ἐγένετο ἔμπροσθέν σου. | | Lk10:21 Ἐν αὐτῇ τῇ ὥρᾳ<br>ἠγαλλιάσατο [ἐν] τῷ πνεύματι τῷ ἁγίῳ<br>καὶ εἶπεν,<br>Ἐξομολογοῦμαί σοι,<br>πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς,<br>ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν<br>καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις·<br>ναί ὁ πατήρ, ὅτι οὕτως εὐδοκία<br>ἐγένετο ἔμπροσθέν σου. |

## No. 94 *[109a. 181b].* The Father Knows the Son / 父は子を知り、子は父を知る

| Mt 11:27 | Mk | Lk 10:22 |
|---|---|---|
| Mt11:27 Πάντα μοι παρεδόθη<br>ὑπὸ τοῦ πατρός μου,<br>καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν<br>εἰ μὴ ὁ πατήρ,<br>οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει<br>εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς<br>ἀποκαλύψαι. | | Lk10:22 Πάντα μοι παρεδόθη<br>ὑπὸ τοῦ πατρός μου,<br>καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς<br>εἰ μὴ ὁ πατήρ,<br>καὶ τίς ἐστιν ὁ πατὴρ<br>εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς<br>ἀποκαλύψαι. |

Jh3:35 ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.
Jh17:2 καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ αὐτοῖς ζωὴν αἰώνιον.
Jh10:15 καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.
Jh17:25 πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας·
Jh17:26 καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ κἀγὼ ἐν αὐτοῖς.

## No. 95 *[123b. 181c].* The Blessedness of the Disciples / 弟子たちは幸い

| Mt 13:16-17 | Mk | Lk 10:23-24 |
|---|---|---|

| | | |
|---|---|---|
| | | Lk10:23 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς κατ' ἰδίαν εἶπεν, |
| Mt13:16 ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσιν<br>καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσιν. | | Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. |
| Mt13:17 ἀμὴν γὰρ λέγω ὑμῖν<br>ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν<br>ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδαν,<br>καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν. | | Lk10:24 λέγω γὰρ ὑμῖν<br>ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν<br>ἰδεῖν ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδαν,<br>καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν. |

(As for "the Greatest Commandment" (Mt 22:34-40 / Mk 12:28-34 / Lk 10:25-28), cf. No. 149.)

### No. 96 *[62. 185]*. The Lord's Prayer / 主の祈り

| Mt 6:9-13 | Mk | Lk 11:1-4 |
|---|---|---|
| | | Lk11:1 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν,<br>Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι,<br>καθὼς καὶ Ἰωάννης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ.<br>Lk11:2 εἶπεν δὲ αὐτοῖς, |
| Mt6:9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς·<br>Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,<br>ἁγιασθήτω τὸ ὄνομά σου· | | Ὅταν προσεύχησθε· λέγετε,<br>Πάτερ,<br>ἁγιασθήτω τὸ ὄνομά σου· |
| Mt6:10 ἐλθέτω ἡ βασιλεία σου·<br>γενηθήτω τὸ θέλημά σου,<br>ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· | | ἐλθέτω ἡ βασιλεία σου· |
| Mt6:11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον<br>δὸς ἡμῖν σήμερον· | | Lk11:3 τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον<br>δίδου ἡμῖν τὸ καθ' ἡμέραν· |
| Mt6:12 καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,<br>ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν· | | Lk11:4 καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν,<br>καὶ γὰρ αὐτοὶ ἀφίομεν παντὶ ὀφείλοντι ἡμῖν· |
| Mt6:13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,<br>ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. | | καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. |

## No. 97 *[70. 187]*. Encouragement to Seek / 求めよ、さらば与えられん

| Mt 7:7-11 | Mk | Lk 11:9-13 |
|---|---|---|
| | | Lk11:9 κἀγὼ ὑμῖν λέγω, |
| Mt7:7 Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, | | αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, |
| ζητεῖτε καὶ εὑρήσετε, | Jh16:24b αἰτεῖτε καὶ λήμψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. | ζητεῖτε καὶ εὑρήσετε, |
| κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· | | κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· |
| Mt7:8 πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει | | Lk11:10 πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει |
| καὶ ὁ ζητῶν εὑρίσκει | | καὶ ὁ ζητῶν εὑρίσκει |
| καὶ τῷ κρούοντι ἀνοιγήσεται. | | καὶ τῷ κρούοντι ἀνοιγ[ήσ]εται. |
| Mt7:9 ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, | | Lk11:11 τίνα δὲ ἐξ ὑμῶν τὸν πατέρα |
| ὃν αἰτήσει ὁ υἱὸς αὐτοῦ ἄρτον, | | αἰτήσει ὁ υἱὸς ἰχθύν, |
| μὴ λίθον ἐπιδώσει αὐτῷ; | | καὶ ἀντὶ ἰχθύος ὄφιν αὐτῷ ἐπιδώσει; |
| Mt7:10 ἢ καὶ ἰχθὺν αἰτήσει, μὴ ὄφιν | | Lk11:12 ἢ καὶ αἰτήσει ᾠόν, |
| ἐπιδώσει αὐτῷ; | | ἐπιδώσει αὐτῷ σκορπίον; |
| Mt7:11 εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες | | Lk11:13 εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες |
| οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις | | οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις |
| ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς | | ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ [ὁ] ἐξ |
| οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν | | οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν. |

Th2 = POxy 654,5-9 [λέγει Ἰη(σοῦ)ς] μὴ παυσάσθω ὁ ζη[τῶν τοῦ ζητεῖν ἕως ἂν] εὕρῃ, καὶ ὅταν εὕρῃ [θαμβηθήσεται, καὶ θαμ]βηθεὶς βασιλεύσῃ, κα[ὶ βασιλεύσας ἐπαναπα]ήσεται.

Th92 (1) Λέγει Ἰησοῦς· ζητεῖτε καὶ εὑρήσετε.

Th94 (1) [Λεγέ]ι Ἰησοῦς· ὁ ζητῶν εὑρήσει, (2) [τῷ κρούοντι] ἀνοιγήσεται.

(As for "On Collusion with Beelzebul" (Mt 9:32; 12:22-30/Mk3:22-27/Lk 11:14-23), cf. No. 42.)

## No. 98 *[120. 189]*. The Return of the Evil Spirit / 戻って来る穢れた霊

| Mt 12:43-45 | Mk | Lk 11:24-26 |
|---|---|---|
| Mt12:43 Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα | | Lk11:24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα |
| ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ | | ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ |
| ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν | | ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν |
| καὶ οὐχ εὑρίσκει. | | καὶ μὴ εὑρίσκον· |

| | |
|---|---|
| Mt12:44 τότε λέγει, Εἰς τὸν οἶκόν μου | [τότε] λέγει, Ὑποστρέψω εἰς τὸν οἶκόν μου |
| ἐπιστρέψω ὅθεν ἐξῆλθον˙ | ὅθεν ἐξῆλθον˙ |
| καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα | Lk11:25 καὶ ἐλθὸν εὑρίσκει |
| σεσαρωμένον καὶ κεκοσμημένον. | σεσαρωμένον καὶ κεκοσμημένον. |
| Mt12:45 τότε πορεύεται καὶ παραλαμβάνει μεθ' | Lk11:26 τότε πορεύεται καὶ παραλαμβάνει |
| ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ | ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ ἑπτά |
| καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ˙ | καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ˙ |
| καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου | καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου |
| χείρονα τῶν πρώτων. | χείρονα τῶν πρώτων. |
| οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. | |

(As for "The Sign of Jona"（Mt12:38-40/Lk11:29-30), cf. No. 70.)

## No. 99 *[119b. 191b].* Jona and the Queen of the South / ヨナと南の女王

| Mk 12:41-42 | Mk | Lk 11:31-32 |
|---|---|---|
| Mt12:41 ἄνδρες Νινευῖται ἀναστήσονται | | Lk11:32 ἄνδρες Νινευῖται ἀναστήσονται |
| ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης | | ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης |
| καὶ κατακρινοῦσιν αὐτήν, | | καὶ κατακρινοῦσιν αὐτήν˙ |
| ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, | | ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, |
| καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. | | καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. |
| | | ---------- |
| Mt12:42 βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ | | Lk11:31 βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ |
| κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ | | κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης καὶ |
| κατακρινεῖ αὐτήν, | | κατακρινεῖ αὐτούς, |
| ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι | | ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι |
| τὴν σοφίαν Σολομῶνος, | | τὴν σοφίαν Σολομῶνος, |
| καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε. | | καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε. |
| ---------- | | |
| *Mt12:41* ἄνδρες Νινευῖται ἀναστήσονται | | *Lk11:32* ἄνδρες Νινευῖται ἀναστήσονται |
| ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης | | ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης |
| καὶ κατακρινοῦσιν αὐτήν, | | καὶ κατακρινοῦσιν αὐτήν˙ |
| ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, | | ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, |
| καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. | | καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. |

(As for "Lamp" (Mt 5:15/Mk 4:21/Lk 8:16; 11:33), cf. No. 48.)

## No. 100 *[65. 193].* The Sound Eye / 目は身(からだ)のともし火

| Mt 6:22-23 | Mk | Lk 11:34-36 |
|---|---|---|
| **Mt6:22** Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός.<br>ἐὰν οὖν ᾖ ὁ ὀφθαλμός σου ἁπλοῦς,<br>ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται·<br>**Mt6:23** ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ,<br>ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται.<br>εἰ οὖν<br>τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν,<br>τὸ σκότος πόσον. | | **Lk11:34** ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός σου.<br>ὅταν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ,<br>καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν·<br>ἐπὰν δὲ πονηρὸς ᾖ,<br>καὶ τὸ σῶμά σου σκοτεινόν.<br>**Lk11:35** σκόπει οὖν<br>μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν.<br><br>**Lk11:36** εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινόν, μὴ ἔχον μέρος τι σκοτεινόν, ἔσται φωτεινὸν ὅλον ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. |

**Th24*** (3) "Light exists inside a person of light, and he shines on the whole world. If he does not shine, there is darkness."

(**no Greek retranslation available in Aland's* Synopsis)

## No. 101 *[194ac. 284].* Discourses against the Religious Leaders / 指導者批判

| Mt 23:4-7.13.23-33 | Mk 12:38-40 | Lk 11:37-48. 52-54; 20:45-47 |
|---|---|---|
| | | **Lk11:37** Ἐν δὲ τῷ λαλῆσαι ἐρωτᾷ αὐτὸν Φαρισαῖος ὅπως ἀριστήσῃ παρ' αὐτῷ· εἰσελθὼν δὲ ἀνέπεσεν.<br>**Lk11:38** ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. |
| *A: According to Luke's sequence* | | |
| **Mt23:25** Οὐαὶ ὑμῖν,<br>γραμματεῖς καὶ Φαρισαῖοι<br>ὑποκριταί, | | **Lk11:39** εἶπεν δὲ ὁ κύριος πρὸς αὐτόν,<br>Νῦν ὑμεῖς<br>οἱ Φαρισαῖοι |

ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν
ἐξ ἁρπαγῆς καὶ ἀκρασίας.
**Mt23:26** Φαρισαῖε τυφλέ,

καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτοῦ καθαρόν.

----------

**Mt23:23** Οὐαὶ ὑμῖν,
γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί,
ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου,
τὴν κρίσιν καὶ τὸ ἔλεος καὶ τὴν πίστιν˙
ταῦτα [δὲ] ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι.
**Mt 23:24** ὁδηγοὶ τυφλοί, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

----------

**Mt23:5** πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις˙ πλατύνουσιν γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσιν τὰ κράσπεδα,

**Mt23:6** φιλοῦσιν δὲ τὴν πρωτοκλισίαν
ἐν τοῖς δείπνοις
Καὶ τὰς πρωτοκαθεδρίας

**Th89** (1) Λέγει Ἰησοῦς˙ (διὰ) τί νίπτετε τὸ ἔξωθεν τοῦ ποτηρίου; (2) οὐ νοεῖτε ὅτι ὁ ποιήσας τὸ ἔσωθεν οὗτος καὶ τὸ ἔξωθεν ἐποίησεν.

**Mk12:38** Καὶ ἐν τῇ διδαχῇ αὐτοῦ ἔλεγεν,

Βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν
καὶ

τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε,
τὸ δὲ ἔσωθεν ὑμῶν
γέμει ἁρπαγῆς καὶ πονηρίας.
**Lk11:40** ἄφρονες,
οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησεν;
**Lk11:41** πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην,

καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν.

**Lk11:42** ἀλλὰ οὐαὶ ὑμῖν
τοῖς Φαρισαίοις,

ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον καὶ παρέρχεσθε

τὴν κρίσιν καὶ
τὴν ἀγάπην τοῦ θεοῦ˙
ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ παρεῖναι.

----------

**Lk20:45** Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ εἶπεν τοῖς μαθηταῖς [αὐτοῦ]˙
**Lk20:46** προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς
καὶ φιλούντων

**Lk11:43** οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις,

ὅτι ἀγαπᾶτε

τὴν πρωτοκαθεδρίαν
ἐν ταῖς συναγωγαῖς

ἐν ταῖς συναγωγαῖς
Mt23:7 καὶ τοὺς
ἀσπασμοὺς
ἐν ταῖς ἀγοραῖς

καὶ καλεῖσθαι ὑπὸ τῶν
ἀνθρώπων,
Ῥαββί.
----------
Mt23:27 Οὐαὶ ὑμῖν,
γραμματεῖς καὶ Φαρισαῖοι
ὑποκριταί,
ὅτι παρομοιάζετε τάφοις
κεκονιαμένοις, οἵτινες
ἔξωθεν μὲν φαίνονται
ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν
ὀστέων νεκρῶν καὶ πάσης
ἀκαθαρσίας.
Mt23:28 οὕτως καὶ ὑμεῖς
ἔξωθεν μὲν φαίνεσθε τοῖς
ἀνθρώποις δίκαιοι, ἔσωθεν
δέ ἐστε μεστοὶ ὑποκρίσεως
καὶ ἀνομίας.
----------

Mt23:4 δεσμεύουσιν δὲ
φορτία βαρέα [καὶ
δυσβάστακτα] καὶ
ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους
τῶν ἀνθρώπων,

ἀσπασμοὺς
ἐν ταῖς ἀγοραῖς
Mk12:39 καὶ
πρωτοκαθεδρίας
ἐν ταῖς συναγωγαῖς
καὶ πρωτοκλισίας
ἐν τοῖς δείπνοις,
Mk12:40 οἱ
κατεσθίοντες τὰς
οἰκίας τῶν χηρῶν
καὶ προφάσει μακρὰ
προσευχόμενοι·
οὗτοι λήμψονται
περισσότερον κρίμα.

ἀσπασμοὺς
ἐν ταῖς ἀγοραῖς
καὶ
πρωτοκαθεδρίας
ἐν ταῖς συναγωγαῖς
καὶ πρωτοκλισίας
ἐν τοῖς δείπνοις,
Lk20:47 οἳ
κατεσθίουσιν τὰς
οἰκίας τῶν χηρῶν
καὶ προφάσει μακρὰ
προσεύχονται·
οὗτοι λήμψονται
περισσότερον κρίμα.
----------

καὶ τοὺς
ἀσπασμοὺς
ἐν ταῖς ἀγοραῖς.

Lk11:44 οὐαὶ ὑμῖν,

ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα,

καὶ οἱ ἄνθρωποι [οἱ]
περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.

Lk11:45 Ἀποκριθεὶς δέ τις τῶν νομικῶν
λέγει αὐτῷ,
Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.
Lk11:46 ὁ δὲ εἶπεν,
Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί,
ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία
δυσβάστακτα,

| | | |
|---|---|---|
| αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι αὐτά. | | καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. |
| ---------- | | |
| **Mt23:29** Οὐαὶ ὑμῖν, | | **Lk11:47** οὐαὶ ὑμῖν, |
| γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, | | |
| ὅτι οἰκοδομεῖτε τοὺς τάφους | | ὅτι οἰκοδομεῖτε |
| τῶν προφητῶν | | |
| καὶ κοσμεῖτε | | τὰ μνημεῖα |
| τὰ μνημεῖα τῶν δικαίων, | | τῶν προφητῶν, |
| **Mt23:30** καὶ λέγετε, Εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα αὐτῶν κοινωνοὶ ἐν τῷ αἵματι τῶν προφητῶν. | | οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. |
| **Mt23:31** ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. | | **Lk11:48** ἄρα μάρτυρές ἐστε καὶ συνευδοκεῖτε τοῖς ἔργοις |
| **Mt23:32** καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον | | |
| τῶν πατέρων ὑμῶν. | | τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς ὑμεῖς δὲ οἰκοδομεῖτε. |
| **Mt23:33** ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; | | |
| ---------- | | ---------- |
| **Mt23:13** Οὐαὶ δὲ ὑμῖν, | | **Lk11:52** οὐαὶ ὑμῖν |
| γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, | | τοῖς νομικοῖς, |
| ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· | | ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· |
| ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε | | αὐτοὶ οὐκ εἰσήλθατε |
| οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. | | καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. |

**Th39** (1) Λέγει Ἰησοῦς· οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἔλαβον τὰς κλεῖδας τῆς γνώσεως, ἔκρυψαν αὐτάς. (2) οὔτε εἰσῆλθον, καὶ τοὺς θέλοντας εἰσελθεῖν ἀφῆκαν. (3) ὑμεῖς δὲ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

**POxy 655 col. ii , 11-23** [Λέγει Ἰ(ησοῦ)ς· οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς] ἔλ[αβον τὰς κλεῖδας] τῆς [γνώσεως. αὐτοὶ ἔ]κρυψ[αν αὐτάς. οὔτε] εἰσῆλ[θον, οὔτε τοὺς] εἰσερ[χομένους ἀφῆ]καν [εἰσελθεῖν. ὑμεῖς] δὲ γεί[νεσθε φρόνι]μοι ὡ[ς ὄφεις καὶ α]κέραι[οι ὡς περιστε]ρα[ί].

**Th102** Λέγει Ἰησοῦς· [ο]ὐαὶ αὐτοῖς τοῖς φαρισαίοις ὅτι ὅμοιοι εἰσιν κυνὶ Καθεύδοντι ἐπὶ φάτνῃ βοῶν· ὅτι οὔτε ἐσθίει οὔτθ τοὺς βόας ἀφιησιν ἐσθίειν.

----------

----------

**Lk11:53** Κἀκεῖθεν ἐξελθόντος αὐτοῦ ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ
ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων,
**Lk11:54** ἐνεδρεύοντες αὐτὸν θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ.

----------

*B: According to Matthew's sequence*

**Mt23:4** δεσμεύουσιν δὲ φορτία βαρέα [καὶ δυσβάστακτα] καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων,
αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι αὐτά.

**Lk11:45** Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ, Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.
**Lk11:46** ὁ δὲ εἶπεν, Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα,
καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις.

----------

**Mt23:5** πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσιν γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσιν τὰ κράσπεδα,

**Mt23:6** φιλοῦσιν δὲ τὴν πρωτοκλισίαν
ἐν τοῖς δείπνοις
Καὶ τὰς πρωτοκαθεδρίας

**Mk12:38** Καὶ ἐν τῇ διδαχῇ αὐτοῦ ἔλεγεν,
Βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν
καὶ

**Lk20:45** Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ εἶπεν τοῖς μαθηταῖς [αὐτοῦ]·
**Lk20:46** προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς
καὶ φιλούντων

**Lk11:43** οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις,
ὅτι ἀγαπᾶτε
τὴν πρωτοκαθεδρίαν
ἐν ταῖς συναγωγαῖς

| | | | |
|---|---|---|---|
| ἐν ταῖς συναγωγαῖς<br>Mt23:7 καὶ τοὺς<br>ἀσπασμοὺς<br>ἐν ταῖς ἀγοραῖς | ἀσπασμοὺς<br>ἐν ταῖς ἀγοραῖς<br>Mk12:39 καὶ<br>πρωτοκαθεδρίας<br>ἐν ταῖς συναγωγαῖς<br>καὶ πρωτοκλισίας<br>ἐν τοῖς δείπνοις,<br>Mk12:40 οἱ<br>κατεσθίοντες τὰς<br>οἰκίας τῶν χηρῶν<br>καὶ προφάσει μακρὰ<br>προσευχόμενοι·<br>οὗτοι λήμψονται<br>περισσότερον κρίμα.<br>. | ἀσπασμοὺς<br>ἐν ταῖς ἀγοραῖς<br>καὶ<br>πρωτοκαθεδρίας<br>ἐν ταῖς συναγωγαῖς<br>καὶ πρωτοκλισίας<br>ἐν τοῖς δείπνοις,<br>Lk20:47 οἳ<br>κατεσθίουσιν τὰς<br>οἰκίας τῶν χηρῶν<br>καὶ προφάσει μακρὰ<br>προσεύχονται·<br>οὗτοι λήμψονται<br>περισσότερον κρίμα.<br>---------- | καὶ τοὺς<br>ἀσπασμοὺς<br>ἐν ταῖς ἀγοραῖς. |
| καὶ καλεῖσθαι ὑπὸ τῶν<br>ἀνθρώπων,<br>Ῥαββί.<br>---------- | | | |
| Mt23:13 Οὐαὶ δὲ ὑμῖν,<br>γραμματεῖς καὶ Φαρισαῖοι<br>ὑποκριταί,<br>ὅτι κλείετε τὴν βασιλείαν<br>τῶν οὐρανῶν<br>ἔμπροσθεν τῶν ἀνθρώπων·<br>ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε<br>οὐδὲ τοὺς εἰσερχομένους<br>ἀφίετε εἰσελθεῖν.<br>---------- | | Lk11:52 οὐαὶ ὑμῖν<br>τοῖς νομικοῖς,<br><br>ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως·<br><br><br>αὐτοὶ οὐκ εἰσήλθατε<br>καὶ τοὺς εἰσερχομένους<br>ἐκωλύσατε.<br>---------- | |
| Mt23:23 Οὐαὶ ὑμῖν,<br>γραμματεῖς καὶ Φαρισαῖοι<br>ὑποκριταί,<br>ὅτι ἀποδεκατοῦτε τὸ<br>ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ<br>τὸ κύμινον καὶ ἀφήκατε τὰ<br>βαρύτερα τοῦ νόμου,<br>τὴν κρίσιν καὶ τὸ ἔλεος καὶ<br>τὴν πίστιν·<br>ταῦτα [δὲ] ἔδει ποιῆσαι<br>κἀκεῖνα μὴ ἀφιέναι. | | Lk11:42 ἀλλὰ οὐαὶ ὑμῖν<br>τοῖς Φαρισαίοις,<br><br>ὅτι ἀποδεκατοῦτε τὸ<br>ἡδύοσμον καὶ τὸ πήγανον καὶ<br>πᾶν λάχανον καὶ παρέρχεσθε<br><br>τὴν κρίσιν καὶ<br>τὴν ἀγάπην τοῦ θεοῦ·<br>ταῦτα δὲ ἔδει ποιῆσαι<br>κἀκεῖνα μὴ παρεῖναι. | |

**Mt 23:24** ὁδηγοὶ τυφλοί, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

**Mt23:25** Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί,
ὅτι καθαρίζετε
τὸ ἔξωθεν τοῦ ποτηρίου
καὶ τῆς παροψίδος,
ἔσωθεν δὲ γέμουσιν
ἐξ ἁρπαγῆς καὶ ἀκρασίας.

**Mt23:26** Φαρισαῖε τυφλέ,

καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτοῦ καθαρόν.

**Mt23:27** Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί,
ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.

**Mt23:28** οὕτως καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δέ ἐστε μεστοὶ ὑποκρίσεως καὶ ἀνομίας.

**Mt23:29** Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί,
ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων,

**Mt23:30** καὶ λέγετε, Εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν

**Th89** (1) Λέγει Ἰησοῦς˙ (διὰ) τί νίπτετε τὸ ἔξωθεν τοῦ ποτηρίου; (2) οὐ νοεῖτε ὅτι ὁ ποιήσας τὸ ἔσωθεν οὗτος καὶ τὸ ἔξωθεν ἐποίησεν.

----------

**Lk11:39** εἶπεν δὲ ὁ κύριος πρὸς αὐτόν, Νῦν ὑμεῖς οἱ
Φαρισαῖοι

τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος
καθαρίζετε,

τὸ δὲ ἔσωθεν ὑμῶν
γέμει ἁρπαγῆς καὶ πονηρίας.

**Lk11:40** ἄφρονες,
οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησεν;

**Lk11:41** πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν.

**Lk11:44** οὐαὶ ὑμῖν,

ὅτι
ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα,

καὶ οἱ ἄνθρωποι [οἱ] περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.

**Lk11:47** οὐαὶ ὑμῖν,

ὅτι οἰκοδομεῖτε
τὰ μνημεῖα
τῶν προφητῶν,
οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.

| | | |
|---|---|---|
| πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα αὐτῶν κοινωνοὶ ἐν τῷ αἵματι τῶν προφητῶν. | | |
| **Mt23:31** ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. | | **Lk11:48** ἄρα μάρτυρές ἐστε καὶ συνευδοκεῖτε τοῖς ἔργοις |
| **Mt23:32** καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. | | τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς ὑμεῖς δὲ οἰκοδομεῖτε. |
| **Mt23:33** ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; | | ---------- |

**Th39** (1) Λέγει Ἰησοῦς˙ οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἔλαβον τὰς κλεῖδας τῆς γνώσεως, ἔκρυψαν αὐτάς. (2) οὔτε εἰσῆλθον, καὶ τοὺς θέλοντας εἰσελθεῖν ἀφῆκαν. (3) ὑμεῖς δὲ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

**POxy 655 col. ii, 11-23** [Λέγει Ἰ(ησοῦ)ς˙ οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς] ἔλ[αβον τὰς κλεῖδας] τῆς [γνώσεως. αὐτοὶ ἔ]κρυψ[αν αὐτάς. οὔτε] εἰσῆλ[θον, οὔτε τοὺς] εἰσερ[χομένους ἀφῆ]καν [εἰσελθεῖν. ὑμεῖς] δὲ γεί[νεσθε φρόνι]μοι ὡ[ς ὄφεις καὶ α]κέραι[οι ὡς περιστε]ρα[ί].

**Th102** Λέγει Ἰησοῦς˙ [ο]ὐαὶ αὐτοῖς τοῖς φαρισαίοις ὅτι ὅμοιοι εἰσιν κυνὶ Καθεύδοντι ἐπὶ φάτνῃ βοῶν˙ ὅτι οὔτε ἐσθίει οὔτθ τοὺς βόας ἀφιησιν ἐσθίειν.

| | | |
|---|---|---|
| | | **Lk11:53** Κἀκεῖθεν ἐξελθόντος αὐτοῦ ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, **Lk11:54** ἐνεδρεύοντες αὐτὸν θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ. |

## No. 102 *[194b. 284]*. Judgment on This Generation / 血の責任とこの世代

| Mt 23:34-36 | Mk | Lk 11:49-51 |
|---|---|---|
| **Mt23:34** διὰ τοῦτο | | **Lk11:49** διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν, |
| ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς | | Ἀποστελῶ εἰς αὐτοὺς |
| προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς˙ | | προφήτας καὶ ἀποστόλους, |
| ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν | | καὶ ἐξ αὐτῶν ἀποκτενοῦσιν |
| καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν˙ | | καὶ διώξουσιν, |

| | |
|---|---|
| **Mt23:35** ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον | **Lk11:50** ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν |
| ἐκχυννόμενον ἐπὶ τῆς γῆς | προφητῶν τὸ ἐκκεχυμένον ἀπὸ καταβολῆς κόσμου |
| | ἀπὸ τῆς γενεᾶς ταύτης, |
| ἀπὸ τοῦ αἵματος Ἅβελ τοῦ δικαίου | **Lk11:51** ἀπὸ αἵματος Ἅβελ |
| ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, | ἕως αἵματος Ζαχαρίου |
| ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ | τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου |
| καὶ τοῦ θυσιαστηρίου. | καὶ τοῦ οἴκου· |
| **Mt23:36** ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα | ναί λέγω ὑμῖν, ἐκζητηθήσεται |
| ἐπὶ τὴν γενεὰν ταύτην. | ἀπὸ τῆς γενεᾶς ταύτης. |

(As for "Nothing Remains Undiscovered" (Mt 10:26/Lk 12:2), cf. No. 49.)

## No. 103 *[101a. 196a]*. In the Light, upon the Roof / 光の中、屋根の上

| Mt 10:27 | Mk | Lk 12:3 |
|---|---|---|
| ***Mt10:26*** *Μὴ οὖν φοβηθῆτε αὐτούς·* | | |
| *οὐδὲν γάρ ἐστιν κεκαλυμμένον* | | ***Lk12:2*** *οὐδὲν δὲ συγκεκαλυμμένον* |
| | | *ἐστὶν* |
| *ὃ οὐκ ἀποκαλυφθήσεται* | | *ὃ οὐκ ἀποκαλυφθήσεται* |
| *καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται.* | | *καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται.* |
| **Mt10:27** ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ | | **Lk12:3** ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ |
| εἴπατε ἐν τῷ φωτί, | | εἴπατε ἐν τῷ φωτὶ ἀκουσθήσεται, |
| καὶ ὃ εἰς τὸ οὖς ἀκούετε | | καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε |
| | | ἐν τοῖς ταμείοις |
| κηρύξατε ἐπὶ τῶν δωμάτων. | | κηρυχθήσεται ἐπὶ τῶν δωμάτων. |

**Th33 (1)** Λέγει Ἰησοῦς· ὃ ἀκούσεις εἰς τὸ οὖς σου, εἰς τὸ ἄλλο οὖς κήρυξον ἐπὶ τῶν δωμάτων ὑμῶν.
**POxy 1,41-43** λέγει Ἰ(ησοῦ)ς· <ὃ> ἀκούεις [ε]ἰς τὸ ἓν ὠτίον σου, το[ῦτο κήρυξον...].

## No. 104 *[101b. 196b]*. Do Not Be Afraid / 恐れるな

| Mk 10:28-31 | Mk | Lk 12:4-7 |
|---|---|---|
| **Mt10:28** καὶ | | **Lk12:4** Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου, |
| μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων | | μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων |

| | |
|---|---|
| τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· | τὸ σῶμα καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι. |
| | **Lk12:5** ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· |
| φοβεῖσθε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. | φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν ἐμβαλεῖν εἰς τὴν γέενναν. ναί λέγω ὑμῖν, τοῦτον φοβήθητε. |
| **Mt10:29** οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν. | **Lk12:6** οὐχὶ πέντε στρουθία πωλοῦνται ἀσσαρίων δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ. |
| **Mt10:30** ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. | **Lk12:7** ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. |
| **Mt10:31** μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. | μὴ φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε. |

## No. 105 *[101c. 196c].* If One Denies Me / 我を否む者は

| Mt 10:32-33 | Mk | Lk 12:8-9 |
|---|---|---|
| **Mt10:32** Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν [τοῖς] οὐρανοῖς· | | **Lk12:8** Λέγω δὲ ὑμῖν, πᾶς ος ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ· |
| **Mt10:33** ὅστις δ᾽ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν [τοῖς] οὐρανοῖς. | | **Lk12:9** ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ. |
| ---------- | ---------- | ---------- |
| ***Mt16:27*** *μέλλει γὰρ* | ***Mk8:38*** *ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ* | ***Lk9:26*** *ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον* |
| *ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς* | *ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς* | *ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ* |

| | | |
|---|---|---|
| *αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.* | *αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.* | *τῶν ἁγίων ἀγγέλων.* |

Cf. No. 77.

(As for "The Sin against the Holy Spirit" (Mt 12:31-32/Mk 3:28-30/Lk 12:10), cf. No. 43.)

## No. 106 *[100a. 198. 289b].* The Holy Spirit Speaks / 語るのは聖霊

| Mt 10:19-20 | Mk 13:11 | Lk 12:11-12 | Lk 21:14-15 |
|---|---|---|---|
| **Mt10:19** ὅταν δὲ παραδῶσιν ὑμᾶς, | **Mk13:11** καὶ ὅταν ἄγωσιν ὑμᾶς παραδιδόντες, | **Lk12:11** ὅταν δὲ εἰσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, | **Lk21:14** θέτε οὖν ἐν ταῖς καρδίαις ὑμῶν |
| μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε˙ | μὴ προμεριμνᾶτε τί λαλήσητε, | μὴ μεριμνήσητε πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε˙ | μὴ προμελετᾶν ἀπολογηθῆναι˙ |
| δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσητε˙ **Mt10:20** οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. | ἀλλ’ ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τοῦτο λαλεῖτε˙ οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. | **Lk12:12** τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν. | **Lk21:15** ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντιστῆναι ἢ ἀντειπεῖν ἅπαντες οἱ ἀντι-κείμενοι ὑμῖν. |

**Jh14:26** ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν [ἐγώ].

## No. 107 *[67. 201].* Do Not Be Anxious about Earthly Things / 思い煩うな

| Mt 6:25-34 | Mk | Lk 12:22-32 |
|---|---|---|
| | | **Lk12:22** Εἶπεν δὲ πρὸς τοὺς μαθητάς [αὐτοῦ], |
| **Mt6:25** Διὰ τοῦτο λέγω ὑμῖν, | | Διὰ τοῦτο λέγω ὑμῖν˙ |
| μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε [ἢ τί πίητε,] | | μὴ μεριμνᾶτε τῇ ψυχῇ τί φάγητε, |

μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε.
οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστιν τῆς τροφῆς
καὶ τὸ σῶμα τοῦ ἐνδύματος;
**Mt6:26** ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ
ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν
οὐδὲ συνάγουσιν εἰς ἀποθήκας,
καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά·
οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;
**Mt6:27** τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;
**Mt6:28** καὶ περὶ ἐνδύματος τί
μεριμνᾶτε;
καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνουσιν·
οὐ κοπιῶσιν οὐδὲ νήθουσιν·
**Mt6:29** λέγω δὲ ὑμῖν ὅτι
οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ
περιεβάλετο ὡς ἓν τούτων.
**Mt6:30** εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ
σήμερον ὄντα
καὶ αὔριον εἰς κλίβανον βαλλόμενον
ὁ θεὸς οὕτως ἀμφιέννυσιν,
οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

μηδὲ τῷ σώματι τί ἐνδύσησθε.
**Lk12:23** ἡ γὰρ ψυχὴ πλεῖόν ἐστιν τῆς τροφῆς
καὶ τὸ σῶμα τοῦ ἐνδύματος.
**Lk12:24** κατανοήσατε τοὺς κόρακας
ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν,
οἷς οὐκ ἔστιν ταμεῖον οὐδὲ ἀποθήκη,
καὶ ὁ θεὸς τρέφει αὐτούς·
πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν.
**Lk12:25** τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
ἐπὶ τὴν ἡλικίαν αὐτοῦ προσθεῖναι πῆχυν;
**Lk12:26** εἰ οὖν οὐδὲ ἐλάχιστον δύνασθε, τί περὶ
τῶν λοιπῶν μεριμνᾶτε;
**Lk12:27** κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει·
οὐ κοπιᾷ οὐδὲ νήθει·
λέγω δὲ ὑμῖν,
οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ
περιεβάλετο ὡς ἓν τούτων.
**Lk12:28** εἰ δὲ ἐν ἀγρῷ τὸν χόρτον
ὄντα σήμερον
καὶ αὔριον εἰς κλίβανον βαλλόμενον
ὁ θεὸς οὕτως ἀμφιέζει,
πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι.

**Th36** Λέγει Ἰησοῦς· μὴ μεριμνᾶτε ἀπὸ Πρωῒ ἕως ὀψέ, μήτε ἀφ᾽ ἑσπέρας ἕως πρωῒ τί ἐνδύσησθε.
**POxy 655 col. i, 1-17** [λέγει Ἰ(ησοῦ)ς· μὴ μεριμνᾶτε ἀ]πὸ πρωὶ ἕ[ως ὀψέ, μήτ]ε ἀφ᾽ ἑσπ[έρας ἕως π]ρωί μήτε [τῇ τροφῇ ὑ]μῶν τί φά[γητε, μήτε] τῇ στ[ολῇ ὑμῶν] τί ἐνδύ[ση]σθε. [πολ]λῷ κρεί[σσον]ές ἐ[στε] τῶν [κρί]νων, ἅτι[να ο]ὐ ξα[ί]νει οὐδὲ ν[ήθ]ει. μ[ηδ]ὲν ἔχοντ[ες ἔ]νδ[υ]μα, τί ἐν[δύεσθε] καὶ ὑμεῖς; τίς ἂν προςθ<εί>η ἐπὶ τὴν εἰλικίαν ὑμῶν; αὐτὸ[ς δ]ώσει ὑμεῖς τὸ ἔνδυμα ὑμῶν.

**Mt6:31** μὴ οὖν μεριμνήσητε λέγοντες,
Τί φάγωμεν; ἤ, Τί πίωμεν; ἤ, Τί περιβαλώμεθα;
**Mt6:32** πάντα γὰρ ταῦτα τὰ ἔθνη
ἐπιζητοῦσιν·
οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
ὅτι χρῄζετε τούτων ἁπάντων.
**Mt6:33** ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν
[τοῦ θεοῦ] καὶ τὴν δικαιοσύνην αὐτοῦ,
καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.
**Mt6:34** μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει ἑαυτῆς· ἀρκετὸν τῇ ἡμ έρᾳ ἡ κακία αὐτῆς.

**Lk12:29** καὶ ὑμεῖς μὴ ζητεῖτε
τί φάγητε καὶ τί πίητε καὶ μὴ μετεωρίζεσθε·
**Lk12:30** ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου
ἐπιζητοῦσιν,
ὑμῶν δὲ ὁ πατὴρ οἶδεν
ὅτι χρῄζετε τούτων.
**Lk12:31** πλὴν ζητεῖτε τὴν βασιλείαν
αὐτοῦ,
καὶ ταῦτα προστεθήσεται ὑμῖν.
**Lk12:32** Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν.

## No. 108 *[64. 202].* Treasures in Heaven / 宝は天に

| Mt 6:19-21 | Mk | Lk 12:33-34 |
|---|---|---|
| **Mt6:19** Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς,<br>ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν· | | **Lk12:33** Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην· |
| **Mt6:20** θησαυρίζετε δὲ ὑμῖν<br>θησαυροὺς ἐν οὐρανῷ,<br>ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν· | | ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα,<br>θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς,<br>ὅπου κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει· |
| **Mt6:21** ὅπου γάρ ἐστιν ὁ θησαυρός σου,<br>ἐκεῖ ἔσται καὶ ἡ καρδία σου. | | **Lk12:34** ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν,<br>ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. |

**Th76** (1) Λέγει Ἰησοῦς· ἡ βασιλεία τοῦ πατρὸς ὁμοία ἐστὶν ἀνθρώπῳ ἐμπόρῳ ἔχοντι φορτίον, ὃς εὗρεν μαργαρίτην. (2) ὁ ἔμπορος ἐκεῖνος φρόνιμός ἐστιν. ἐπώλησεν τὸ φορτίον (καὶ) ἠγοράσατο ἑαυτῷ τὸν μαργαρίτην ἕνα. (3) ζητεῖτε καὶ ὑμεῖς τὸν θησαυρὸν αὐτοῦ τὸν ἀνέκλειπτον (καὶ) μένοντα ὅπου σὴς οὐκ ἐγγίζει φαγεῖν οὐδὲ σκώληξ ἀφανίζει. *(As for (1) and (2), cf. Mt13:45-46.)*

## No. 109 *[203a. 294. 296b].* Watchfulness / 備えておれ　(Cf. No. 161)

| Mt 24:42; 25:13 | | Mk 13:35-36 | Lk 12:35-38 |
|---|---|---|---|
| | | | **Lk12:35** Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι·<br>**Lk12:36** καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν πότε ἀναλύσῃ ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ.<br>**Lk12:37** μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, |
| **Mt24:42**<br>γρηγορεῖτε οὖν,<br><br>ὅτι οὐκ οἴδατε | **Mt25:13**<br>Γρηγορεῖτε οὖν,<br>Cf. Mk13:33.<br>ὅτι οὐκ οἴδατε | **Mk13:35** γρηγορεῖτε οὖν·<br><br>οὐκ οἴδατε γὰρ πότε | οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας·<br>ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελθὼν |

| | | | |
|---|---|---|---|
| ποίᾳ ἡμέρᾳ<br>ὁ κύριος ὑμῶν<br>ἔρχεται. | τὴν ἡμέραν οὐδὲ<br>τὴν ὥραν. | <br>ὁ κύριος τῆς οἰκίας<br>ἔρχεται,<br>ἢ ὀψὲ ἢ μεσονύκτιον ἢ<br>ἀλεκτοροφωνίας ἢ πρωΐ,<br>**Mk13:36** μὴ ἐλθὼν ἐξαίφνης<br>εὕρῃ ὑμᾶς καθεύδοντας. | διακονήσει αὐτοῖς.<br><br><br>**Lk12:38** κἂν ἐν τῇ δευτέρᾳ<br>κἂν ἐν τῇ τρίτῃ φυλακῇ<br>ἔλθῃ καὶ<br>εὕρῃ οὕτως, μακάριοί εἰσιν ἐκεῖνοι. |

## No. 110 *[203b. 296b].* The Son of Man Like a Burgler / 人の子は盗賊の如く

| Mt 24:43-44 | Mk | Lk 12:39-40 |
|---|---|---|
| **Mt24:43** ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει<br>ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται,<br>ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν<br>διορυχθῆναι τὴν οἰκίαν αὐτοῦ.<br>**Mt24:44** διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι,<br>ὅτι ᾗ οὐ δοκεῖτε ὥρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. | | **Lk12:39** τοῦτο δὲ γινώσκετε ὅτι εἰ ᾔδει<br>ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται,<br>οὐκ ἂν ἀφῆκεν<br>διορυχθῆναι τὸν οἶκον αὐτοῦ.<br>**Lk12:40** καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι,<br>ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται |

**Th21** (5) διὰ τοῦτο λέγω˙ εἰ μανθάνει ὁ οἰκοδεσπότης ὅτι ἔρχεται ὁ κλέπτης γρηγορήσει πρὶν ἐλθεῖν αὐτὸν καὶ οὐκ ἐάσει αὐτὸν διορύξαι τὴν οἰκίαν αὐτοῦ τῆς βασιλείας αὐτοῦ τοῦ αἴρειν τὰ σκεύη αὐτοῦ. (6) ὑμεῖς δὲ γρηγορεῖτε προσδεχομένη ἐνώπιον τοῦ κόσμου (7) περιζώσασθε τὰς ὀσφύας ὑμῶν ἐν δυνάμει μεγάλῃ, ἵνα μὴ εὕρωσιν οἱ λῃσταί, ποίας εἰσέλθωσιν εἰς ὑμᾶς. (8) ἐπεὶ ἡ χρεία ἡ προσδεχομένη ὑφ᾽ ὑμῶν εὑρήσεται. (9) γένοιτο ἐν μέσῳ ὑμῶν ἄνθρωπος ἐπιστήμων. (10) ὅτε ἤκμασεν ὁ καρπός, ἦλθεν ταχέως τοῦ δρεπάνου αὐτοῦ ὄντος ἐν τῇ χειρὶ αὐτοῦ˙ ἐθέρισεν αὐτόν. (11) ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

**Th103** Λέγει Ἰησοῦς˙ μακάριος ὁ ἄνθρωπος, ὃς οἶδεν ποίῳ μέρει οἱ λῃσταὶ εἰσέρχονται, ἵνα ἀναστὰς συναγάγῃ τὴν βασιλείαν αὐτοῦ καὶ περιζώσῃ τὴν ὀσφὺν αὐτοῦ πρὶν εἰσπορεύεσθαι αὐτούς (cf. Lk12:37; 12:35) .

## No. 111 *[203c. 297].* The Faithful or Unfaithful Servant / 忠実か不実な僕

| Mt 24:45-51 | Mk | Lk 12:41-48 |
|---|---|---|
| <br><br>**Mt24:45** Τίς ἄρα ἐστὶν<br>ὁ πιστὸς δοῦλος καὶ φρόνιμος ὃν κατέστησεν<br>ὁ κύριος ἐπὶ τῆς οἰκετείας αὐτοῦ τοῦ δοῦναι αὐτοῖς<br>τὴν τροφὴν ἐν καιρῷ; | | **Lk12:41** Εἶπεν δὲ ὁ Πέτρος, Κύριε, πρὸς ἡμᾶς<br>τὴν παραβολὴν ταύτην λέγεις ἢ καὶ πρὸς πάντας;<br>**Lk12:42** καὶ εἶπεν ὁ κύριος, Τίς ἄρα ἐστὶν<br>ὁ πιστὸς οἰκονόμος ὁ φρόνιμος, ὃν καταστήσει<br>ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι<br>ἐν καιρῷ [τὸ] σιτομέτριον; |

| Mt | | Lk |
|---|---|---|
| Mt24:46 μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει οὕτως ποιοῦντα· Mt24:47 ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Mt24:48 ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει μου ὁ κύριος, Mt24:49 καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων, Mt24:50 ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, Mt24:51 καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.* <br><br> * As for this expression, cf. the note to No. 117. | | Lk12:43 μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Lk12:44 ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Lk12:45 ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι, Lk12:46 ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. <br><br> Lk12:47 ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ἑτοιμάσας ἢ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ δαρήσεται πολλάς· Lk12:48 ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ, καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν. |

## No. 112 *[102. 204]*. Division in Households / 平和に非ず

| Mt 10:34-36 | Mk | Lk 12:49-53 |
|---|---|---|
| Th10 Λέγει Ἰησοῦς· ἔβαλον πῦρ εἰς τὸν κόσμον. καὶ ἰδοὺ τηρῶ αὐτό, ἕως ἂν πυροῖ. | | Lk12:49 Πῦρ ἦλθον βαλεῖν* ἐπὶ τὴν γῆν, *Cf. Mt10:34 . καὶ τί θέλω εἰ ἤδη ἀνήφθη. |
| | *Mk10:38 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι;* | Lk12:50 βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως ὅτου |

Mt10:34 Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν* εἰρήνην ἐπὶ τὴν γῆν˙ οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν.

*Cf. Lk12:49.

Mt10:35 ἦλθον γὰρ διχάσαι

ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ

καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς

καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς,

Mt10:36 καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ.

Th16 (1) Λέγει Ἰησοῦς˙ τάχα δοκοῦσιν οἱ ἄνθρωποι ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὸν κόσμον, (2) καὶ οὐκ οἴδασιν ὅτι ἦλθον βαλεῖν διαμερισμοὺς ἐπὶ τὴν γῆν, πῦρ, μάχαιραν, πόλεμον. (3) πέντε γὰρ ἔσονται ἐν οἴκῳ˙ τρεῖς ἔσονται ἐπὶ δυσὶ καὶ δύο ἐπὶ τρισίν, ὁ πατὴρ ἐπὶ τῷ υἱῷ καὶ ὁ υἱὸς τῷ πατρί. (4) καὶ στήσονται μόναχοι ὄντες.

τελεσθῇ.

Lk12:51 δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχί, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν.

Lk12:52 ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν ἑνὶ οἴκῳ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶν καὶ δύο ἐπὶ τρισίν,

Lk12:53 διαμερισθήσονται

πατὴρ ἐπὶ υἱῷ

καὶ υἱὸς ἐπὶ πατρί,

μήτηρ ἐπὶ τὴν θυγατέρα

καὶ θυγάτηρ ἐπὶ τὴν μητέρα,

πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς

καὶ νύμφη ἐπὶ τὴν πενθεράν.

## No. 113 *[154b. 205]*. The Present Time / 今の時

### Mk 16:2-3

Mt16:2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, [Ὀψίας γενομένης λέγετε, Εὐδία, πυρράζει γὰρ ὁ οὐρανός˙

Mt16:3 καὶ πρωΐ, Σήμερον χειμών, πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός.

τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν,

τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε;]

### Mk

### Lk12:54-56

Lk12:54 Ἔλεγεν δὲ καὶ τοῖς ὄχλοις, Ὅταν ἴδητε [τὴν] νεφέλην ἀνατέλλουσαν ἐπὶ δυσμῶν, εὐθέως λέγετε ὅτι Ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτως˙

Lk12:55 καὶ ὅταν νότον πνέοντα, λέγετε ὅτι Καύσων ἔσται, καὶ γίνεται.

Lk12:56 ὑποκριταί,

τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν,

τὸν καιρὸν δὲ τοῦτον πῶς οὐκ οἴδατε δοκιμάζειν;

Th91* (1) They said to him: "Tell us who you are so that we may believe in you." (2) He said to them: "You examine the face of the sky and the earth; but the one who is beore you, you have not recognized, and you do not know how to test this opportunity."

*(* no Greek retranslation available in Aland's Texst)*

## No. 114 *[55b. 206]*. Agreement with One's Accuser / 和睦せよ

| Mt 5:25-26 | Mk | Lk 12:57-59 |
|---|---|---|
| | | Lk12:57 Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; |
| Mt5:25 ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ, | | Lk12:58 ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, |
| μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ καὶ εἰς φυλακὴν βληθήσῃ· | | μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε παραδώσει τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βαλεῖ εἰς φυλακήν. |
| Mt5:26 ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. | | Lk12:59 λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς. |

(As for "Parable of the Mustard Seed" (Mt 13:31-32/Mk 4:30-32/Lk 13:18-29), cf. No. 52.)

## No. 115 *[129. 210]*. The Parable of the Leaven / パン種の譬

| Mt 13:33 | Mk | Lk 13:20-21 |
|---|---|---|
| Mt13:33 Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· | | Lk13:20 Καὶ πάλιν εἶπεν, Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ θεοῦ; |
| Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον. | | Lk13:21 ὁμοία ἐστὶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ [ἐν]έκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον. |

Th 96 (1) Λ[έγε]ι Ἰησοῦς ἡ βασιλεία τοῦ πατρὸς ὁμοία ἐστὶν γυναικί [τινι]. (2) ἔλαβεν μικρόν τι ζύμης (καὶ) ἔκρυ[ψεν] αὐτὴν εἰς ἄλευρον (καὶ) ἐποίησεν αὐτὸ ἄρτους μεγάλους. (3) ὁ ἔχων ὦτα ἀκουέτω.

## No. 116 *[72. 211a].* Enter through the Narrow Gate / 狭き門

| Mt 7:13-14 | Mk | Lk 13:22-24 |
| --- | --- | --- |
| | | **Lk13:22** Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων καὶ πορείαν ποιούμενος εἰς Ἱεροσόλυμα. |
| | | **Lk13:23** εἶπεν δέ τις αὐτῷ, Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι; ὁ δὲ εἶπεν πρὸς αὐτούς, |
| **Mt7:13** Εἰσέλθατε διὰ τῆς στενῆς πύλης˙ ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι᾽ αὐτῆς˙ | | **Lk13:24** Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς θύρας, ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν. |
| **Mt7:14** τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. | | |

(As for "Refusal of Recognition" (Mt 7:22-23/Lk 13:25-27), cf. No. 36.)

## No. 117 *[85b. 211c].* Exclusion from the Kingdom / 王国からの閉め出し

| Mt 8:11-12 | Mk | Lk 13:28-30 |
| --- | --- | --- |
| **Mt8:11** λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσιν | | **Lk13:29** καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ ἀπὸ βορρᾶ καὶ νότου |
| καὶ ἀνακλιθήσονται | | καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. |
| | | ---------- |
| | | **Lk13:28** ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων,** |
| μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, | | ὅταν ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, |
| **Mt8:12** οἱ δὲ υἱοὶ τῆς βασιλείας* ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον˙ | *Cf. Lk13:29. | ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. |

ἐκεῖ ἔσται ὁ κλαυθμὸς
καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.**

** The same expression can be found – other than in Mt8:12/Lk13:28 – in Mt13:42, 50; 22:13, 24:51; 25:30.

*Lk13:29* καὶ ἥξουσιν
ἀπὸ ἀνατολῶν καὶ δυσμῶν
καὶ ἀπὸ βορρᾶ καὶ νότου
καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ* τοῦ θεοῦ.

*Cf. Mt8:12.

*Mt20:16 οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι*
*καὶ οἱ πρῶτοι ἔσχατοι.*

Lk13:30 καὶ ἰδοὺ εἰσὶν
ἔσχατοι οἳ ἔσονται πρῶτοι καὶ εἰσὶν
πρῶτοι οἳ ἔσονται ἔσχατοι.

----------

*Mt19:30 Πολλοὶ δὲ*
*ἔσονται πρῶτοι*
*ἔσχατοι καὶ*
*ἔσχατοι πρῶτοι.*

*Mk10:31 πολλοὶ δὲ*
*ἔσονται πρῶτοι*
*ἔσχατοι καὶ*
*[οἱ] ἔσχατοι πρῶτοι.*

**Th4** (1) λέγει Ἰησοῦς· οὐκ ἀποκνήσει ἄνθρωπος παλαιὸς ἡμερῶν ἐπερωτῆσαι παιδίον ἑπτὰ ἡμερῶν περὶ τοῦ τόπου τῆς ζωῆς, καὶ ζήσεται. (2) ὅτι πολλοὶ ἔσονται πρῶτοι ἔσχατοι (3) καὶ εἷς γενήσουσιν.
**POxy 654, 21-27** [λέγει Ἰη(σοῦ)ς]· οὐκ ἀποκνήσει ἄνθ[ρωπος παλαιὸς ἡμε]ρῶν ἐπερωτῆσε πα[ιδίον ἑπτὰ ἡμε]ρῶν περὶ τοῦ τόπου τῆ[ς ζωῆς, καὶ ζή]σετε· ὅτι πολλοὶ ἔσονται π[ρῶτοι ἔσχατοι καὶ] οἱ ἔσχατοι πρῶτοι, καὶ [εἰς ἓν καταντήσου]σιν.

## No. 118 *[213. 285].* The Lament over Jerusalem / ああ、エルサレム

| Mt 23:37-39 | Mk | Lk 13:34-35 |
|---|---|---|
| Mt23:37 Ἰερουσαλὴμ Ἰερουσαλήμ,<br>ἡ ἀποκτείνουσα τοὺς προφήτας<br>καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους<br>πρὸς αὐτήν,<br>ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου,<br>ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς<br>ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε.<br>Mt23:38 ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.<br>Mt23:39 λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ᾽ ἄρτι<br>ἕως ἂν εἴπητε,<br>Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. | | Lk13:34 Ἰερουσαλὴμ Ἰερουσαλήμ,<br>ἡ ἀποκτείνουσα τοὺς προφήτας<br>καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους<br>πρὸς αὐτήν,<br>ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου,<br>ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν<br>ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε.<br>Lk13:35 ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν.<br>λέγω [δὲ] ὑμῖν, οὐ μὴ ἴδητέ με<br>ἕως [ἥξει ὅτε] εἴπητε,<br>Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. |

## No. 119 *[216. 279]*. The Parable of the Great Dinner / 盛大な宴会の譬

| Mt 22:1-14 | Mk | Lk 14:15-24 |
| --- | --- | --- |
| | | Lk14:15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα εἶπεν αὐτῷ, Μακάριος ὅστις φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. |
| Mt22:1 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς πάλιν εἶπεν ἐν παραβολαῖς αὐτοῖς λέγων, | | Lk14:16 ὁ δὲ εἶπεν αὐτῷ, |
| Mt22:2 Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησεν γάμους τῷ υἱῷ αὐτοῦ. | | Ἄνθρωπός τις ἐποίει δεῖπνον μέγα, καὶ ἐκάλεσεν πολλούς |
| Mt22:3 καὶ ἀπέστειλεν τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. | | Lk14:17 καὶ ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου |
| Mt22:4 πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων, Εἴπατε τοῖς κεκλημένοις, Ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμακα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. | | εἰπεῖν τοῖς κεκλημένοις, Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστιν. Lk14:18 καὶ ἤρξαντο ἀπὸ μιᾶς πάντες παραιτεῖσθαι. |
| Mt22:5 οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὃς μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὃς δὲ ἐπὶ τὴν ἐμπορίαν αὐτοῦ· | | ὁ πρῶτος εἶπεν αὐτῷ, Ἀγρὸν ἠγόρασα καὶ ἔχω ἀνάγκην ἐξελθὼν ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. |
| Mt22:6 οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. | | Lk14:19 καὶ ἕτερος εἶπεν, Ζεύγη βοῶν ἠγόρασα πέντε καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. |
| | | Lk14:20 καὶ ἕτερος εἶπεν, Γυναῖκα ἔγημα καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. |
| Mt22:7 ὁ δὲ βασιλεὺς ὠργίσθη καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσεν τοὺς φονεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν. | | Lk14:21 καὶ παραγενόμενος ὁ δοῦλος ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης |
| Mt22:8 τότε λέγει τοῖς δούλοις αὐτοῦ, Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· | | εἶπεν τῷ δούλῳ αὐτοῦ, |
| Mt22:9 πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν καὶ ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τοὺς γάμους. | | Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως καὶ τοὺς πτωχοὺς καὶ ἀναπείρους καὶ τυφλοὺς καὶ |

**Mt22:10** καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι

εἰς τὰς ὁδοὺς συνήγαγον πάντας οὓς εὗρον, πονηρούς τε καὶ ἀγαθούς·
καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων.

χωλοὺς εἰσάγαγε ὧδε.

**Lk14:22** καὶ εἶπεν ὁ δοῦλος, Κύριε,γέγονεν ὃ ἐπέταξας, καὶ ἔτι τόπος ἐστίν.

**Lk14:23** καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον, ̓̓Έξελθε

εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκασον εἰσελθεῖν,
ἵνα γεμισθῇ μου ὁ οἶκος·

**Lk14:24** λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

**Th64** (1) Λέγει᾿Ιησοῦς· ἄνθρωπῴ τινι ξένοι ἦσαν· καὶ ἑτοιμάσας τὸ δεῖπνον ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ ἵνα καλέσῃ τοὺς ξένους. (2) ἦλθεν πρὸς τὸν πρῶτον (καὶ) εἶπεν αὐτῷ· ὁ κύριός μου καλεῖ σε. (3) εἶπεν· ἀργύρια ἐδάνεισα ἐμπόροις, οἳ ἐλεύσονται τῆς ἑσπέρας· πορεύσομαι ἐπιτάσσειν αὐτοῖς, παραιτοῦμαι περὶ τοῦ δείπνου. (4) ἐλθὼν πρὸς ἕτερον εἶπεν αὐτῷ· ὁ κύριός μου ἐκάλέσεν σε. (5) εἶπεν αὐτῷ· οἰκίαν ἠγόρασα καὶ αἰτουσίν με ἡμέραν· οὐκ εὐκαιρῶ. (6) ἐρχόμενος πρὸς ἕτερον εἶπεν αὐτῷ· ὁ κύριός μου καλεῖ σε. (7) εἶπεν αὐτῷ· ὁ φίλος μου γαμήσει καὶ ἐγὼ δεῖπνον ποιήσω· οὐ δυνήσομαι ἐλθεῖν, παραιτοῦμαι περὶ τοῦ δείπνου. (8) ἐλθὼν πρὸς ἕτερον εἶπεν αὐτῷ· ὁ κύριός μου καλεῖ σε. (9) εἶπεν αὐτῶ· κώμην ἠγόρασα (καὶ) πορεύομαι λαβεῖν τὸν μισθόν· οὐ δυνήσομαι ἐλθεῖν, παραιτοῦμαι. (10) παραγονόμενος ὁ δοῦλος ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ· οὓς ἐκάλεσας εἰς τὸ δεῖπνον παρῃτήσαντο. (11) εἶπεν ὁ κύριος τῷ δούλῳ αὐτοῦ· ἔξελθε ἔξω εἰς τὰς ὁδοὺς (καὶ) ὅσους ἐὰν εὕρῃς εἰσάγαγε ἵνα δειπνήσωσιν. (12) οἱ ἀγοράζοντες καὶ οἱ ἔμποροι οὐ μὴ εἰσ[έ]λθ[ωσιν] εἰς τοὺς τόπους τοῦ πατρός μου.

**Mt22:11** εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον
ἔνδυμα γάμου,

**Mt22:12** καὶ λέγει αὐτῷ, Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη.

**Mt22:13** τότε ὁ βασιλεὺς εἶπεν τοῖς διακόνοις, Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας ἐκβάλετε αὐτὸν εἰς τὸ
σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.*

**Mt22:14** πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

* As for this expression, cf. the note to No. 117.

## No. 120 *[103. 217]*. The Conditions of Discipleship / 弟子の条件 (Cf. No. 75)

| Mt 10:37-39 | Mk | Lk 14:25-33 |
|---|---|---|
| | | **Lk14:25** Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί, καὶ στραφεὶς εἶπεν πρὸς αὐτούς˙ |
| **Mt10:37** Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ | | **Lk14:26** εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς ἔτι τε καὶ τὴν ψυχὴν ἑαυτοῦ, |
| οὐκ ἔστιν μου ἄξιος, | | οὐ δύναται εἶναί μου μαθητής. |
| καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος˙ | | |
| **Mt10:38** καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστιν μου ἄξιος. | | **Lk14:27** ὅστις οὐ βαστάζει τὸν σταυρὸν ἑαυτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου μαθητής. |
| | Cf. Mk8:35 par (No. 75) | |
| **Th55** (1) Λέγει Ἰησοῦς˙ ὅστις οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ οὐ δυνήσεται εἶναί μου μαθητής. (2) καὶ ὅστις οὐ μισεῖ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τὰς ἀδελφὰς αὐτοῦ καὶ οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ ὡς ἐγώ, οὐκ γενήσεται μου ἄξιος. **Th101** (1) Ὅστις οὐ μισεῖ τὸν πα[τέρα] αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ ὡς ἐγὼ οὐ δυνήσεται εἶναί μου μ[αθητ]ής. (2) καὶ ὅστις [οὐ] φιλεῖ τὸν [πατέρα] αὐτοῦ [κα]ὶ τὴν μητέρα αὐτοῦ ὡς ἐγὼ οὐ δυνήσεται εἶναί μου μ[αθητή]ς. | | |
| | | ---------- |
| **Mt10:39** ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, | | ***Lk17:33*** *ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ περιποιήσασθαι ἀπολέσει αὐτήν,* |
| καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. | | *ὃς δ' ἂν ἀπολέσῃ ζῳογονήσει αὐτήν.* |
| **Jh12:25** ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολλύει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. | | |
| | | ---------- |
| | | **Lk14:28** Τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει εἰς ἀπαρτισμόν; |
| | | **Lk14:29** ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος ἐκτελέσαι πάντες οἱ θεωροῦντες |

| | | |
|---|---|---|
| | | ἄρξωνται αὐτῷ ἐμπαίζειν<br>**Lk14:30** λέγοντες ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.<br>**Lk14:31** Ἢ τίς βασιλεὺς πορευόμενος ἑτέρῳ βασιλεῖ συμβαλεῖν εἰς πόλεμον οὐχὶ καθίσας πρῶτον βουλεύσεται εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ὑπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν;<br>**Lk14:32** εἰ δὲ μή γε, ἔτι αὐτοῦ πόρρω ὄντος πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην.<br>**Lk14:33** οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσιν τοῖς ἑαυτοῦ ὑπάρχουσιν οὐ δύναται εἶναί μου μαθητής. |

## No. 121 *[169. 219].* The Parable of the Lost Sheep / 失われた羊の譬

| Mt 18:12-14 | Mk | Lk 15:1-7 |
|---|---|---|
| | | **Lk15:1** Ἦσαν δὲ αὐτῷ ἐγγίζοντες πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ.<br>**Lk15:2** καὶ διεγόγγυζον οἵ τε Φαρισαῖοι καὶ οἱ γραμματεῖς λέγοντες ὅτι Οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς.<br>**Lk15:3** εἶπεν δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων, |
| **Mt18:12** Τί ὑμῖν δοκεῖ;<br>ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα καὶ<br>πλανηθῇ ἓν ἐξ αὐτῶν,<br>οὐχὶ ἀφήσει τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη<br>καὶ πορευθεὶς ζητεῖ τὸ πλανώμενον;<br>**Mt18:13** καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, | | **Lk15:4** Τίς ἄνθρωπος ἐξ ὑμῶν<br>ἔχων ἑκατὸν πρόβατα καὶ<br>ἀπολέσας ἐξ αὐτῶν ἓν<br>οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ<br>καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς<br>ἕως εὕρῃ αὐτό;<br>**Lk15:5** καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων<br>**Lk15:6** καὶ ἐλθὼν εἰς τὸν οἶκον συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς, Συγχάρητέ μοι, ὅτι<br>εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. |
| ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει<br>ἐπ' αὐτῷ μᾶλλον | | **Lk15:7** λέγω ὑμῖν ὅτι οὕτως χαρὰ<br>ἐν τῷ οὐρανῷ ἔσται ἐπὶ ἑνὶ ἁμαρτωλῷ |

| | | |
|---|---|---|
| ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις.<br>**Mt18:14** οὕτως οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων.<br><br>**Th107** (1) Λέγει Ἰησους· ἡ βασιλεία ὁμοία ἐστὶν ἀνθρώπῳ ποιμένι ἔχοντι ἑκατὸν πρόβατα. (2) ἓν ἐν αὐτοῖς τὸ μέγιστον, ἐπλανήθη. κατέλιπεν τὰ ἐνενήκοντα ἐννέα (καὶ) ἐζήτησεν τὸ ἕν, ἕως εὕρῃ αὐτό. (3) κοπιάσας εἶπεν τῷ προβάτῳ· θέλω σε παρὰ τὰ ἐνενήκοντα ἐννέα. | | μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσιν μετανοίας.<br><br>***Lk15:8-10*** *Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς ἕως οὗ εὕρῃ;*<br>***Lk15:9*** *καὶ εὑροῦσα συγκαλεῖ τὰς φίλας καὶ γείτονας λέγουσα· συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα.*<br>***Lk15:10*** *οὕτως, λέγω ὑμῖν, γίνεται χαρὰ ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.* |

## No. 122 *[66. 224].* On Serving Two Masters / 二人の主

| Mt 6:24 | Mk | Lk 16:13 |
|---|---|---|
| **Mt6:24** Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. | | **Lk16:13** Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. |

**Th47**(1) Λέγει Ἰησοῦς· οὐδεὶς ἄνθρωπος δύναται καθίζειν ἐπὶ δύο ἵππους καὶ τείνειν δύο τόξα. (2) καὶ οὐ δύναται δοῦλος δυσὶ κυρίοις λατρεύειν. ἢ τὸν ἕνα τιμήσει καὶ τὸν ἕτερον ὑβρίσει.

## No. 123 *[107b. 226a].* The Law and the Prophets until John / 律法と預言者はヨハネまで

| Mt 11:12-13 | Mk | Lk 16:16 |
|---|---|---|
| **Mt11:13** πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου ἐπροφήτευσαν·<br>----------<br>**Mt11:12** ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι | | **Lk16:16** Ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου·<br><br>ἀπὸ τότε |

| | |
|---|---|
| ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται,<br>καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.<br><br>***Mt11:13*** πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος<br>ἕως Ἰωάννου ἐπροφήτευσαν˙ | ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται<br>καὶ πᾶς εἰς αὐτὴν βιάζεται.<br>----------<br>***Lk16:16a*** Ὁ νόμος καὶ οἱ προφῆται<br>μέχρι Ἰωάννου˙ |

## No. 124 *[54a. 226b].* The Validity of the Law / 律法の有効性

| Mt 5:18 | Mk | Lk 16:17 |
|---|---|---|
| Mt5:18 ἀμὴν γὰρ λέγω ὑμῖν˙ | ***Mk13:30*** *Ἀμὴν λέγω ὑμῖν ὅτι*<br>*οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις*<br>*οὗ ταῦτα πάντα γένηται.* | |
| ἕως ἂν παρέλθῃ<br>ὁ οὐρανὸς καὶ ἡ γῆ,<br>ἰῶτα ἓν ἢ μία κεραία<br>οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. | ***Mk13:31*** *ὁ οὐρανὸς καὶ ἡ γῆ*<br>*παρελεύσονται,*<br>*οἱ δὲ λόγοι μου οὐ μὴ*<br>*παρελεύσονται.* | Lk16:17 Εὐκοπώτερον δέ ἐστιν τὸν<br>οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν<br>ἢ<br>τοῦ νόμου μίαν κεραίαν πεσεῖν. |

Cf. Mt24:35/Mk13:31/Lk21:33 (No. 162).

## No. 125*[56b. 227. 252b].* Divorcing is Adultery / 離縁は姦淫

| Mt Mt5:32; 19:9 | Mk 10:11-12 | Lk 16:18 |
|---|---|---|
| Mt5:32 ἐγὼ δὲ λέγω ὑμῖν ὅτι<br>πᾶς<br>ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ<br>παρεκτὸς λόγου πορνείας<br><br>ποιεῖ αὐτὴν μοιχευθῆναι,<br>καὶ ὃς ἐὰν ἀπολελυμένην<br>γαμήσῃ,<br>μοιχᾶται.<br>---------- | | Lk16:18 Πᾶς<br>ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ<br><br>καὶ γαμῶν ἑτέραν<br>μοιχεύει,<br>καὶ ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς<br>γαμῶν<br>μοιχεύει. |
| Mt19:9 λέγω δὲ ὑμῖν ὅτι<br>ὃς ἂν<br>ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ<br>μὴ ἐπὶ πορνείᾳ | Mk10:11 καὶ λέγει αὐτοῖς, .<br>Ὃς ἂν<br>ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ | |

| | | | |
|---|---|---|---|
| καὶ γαμήσῃ ἄλλην<br>μοιχᾶται. | καὶ γαμήσῃ ἄλλην<br>μοιχᾶται ἐπ' αὐτήν˙<br>**Mk10:12** καὶ ἐὰν<br>αὐτὴ ἀπολύσασα τὸν ἄνδρα αὐτῆς<br>γαμήσῃ ἄλλον<br>μοιχᾶται. | | |

## No. 126 *[168a. 229].* Offenses Must Come / 躓きは必然

| Mt 18:6-7 | Mk | Lk 17:1 |
|---|---|---|
| <br><br>**Mt18:7** οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων˙<br>ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα,<br>πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ<br>τὸ σκάνδαλον ἔρχεται. | | **Lk:17:1** Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ,<br>'<br>Ανένδεκτόν ἐστιν τοῦ τὰ σκάνδαλα μὴ ἐλθεῖν,<br>πλὴν οὐαὶ δι' οὗ<br>ἔρχεται˙ |

(As for "Millstone around Your Neck" (Mt18:6/Mk9:42 / Lk17:2), cf. No. 85)

## No. 127 *[170a. 172. 230].* Forgive without Limit / 赦す限度

| Mt 18:15. 21-22 | Mk | Lk 17:3b-4 |
|---|---|---|
| **Mt18:15** Ἐὰν δὲ ἁμαρτήσῃ [εἰς σὲ]<br>ὁ ἀδελφός σου,<br>ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου.<br>ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου˙<br>----------<br>**Mt18:21** Τότε προσελθὼν ὁ Πέτρος εἶπεν αὐτῷ,<br>Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου<br>καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;<br>**Mt18:22** λέγει αὐτῷ ὁ Ἰησοῦς,<br>Οὐ λέγω σοι ἕως ἑπτάκις ἀλλὰ ἕως<br>ἑβδομηκοντάκις ἑπτά. | | **Lk17:3b** ・・・ ἐὰν ἁμάρτῃ<br>ὁ ἀδελφός σου<br>ἐπιτίμησον αὐτῷ,<br>καὶ ἐὰν μετανοήσῃ ἄφες αὐτῷ.<br><br><br>**Lk17:4** καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας<br>ἁμαρτήσῃ εἰς σὲ καὶ ἑπτάκις ἐπιστρέψῃ πρὸς σὲ<br>λέγων, Μετανοῶ,<br>ἀφήσεις αὐτῷ. |

## No. 128 *[163b. 231].* Faith as a Mustard Seed / 芥子種ほどの信

| Mt 17:20b | Mk | Lk 17:6 |
|---|---|---|
| ***Mt17:19*** *Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν εἶπον· διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;* ***Mt17:20a*** *ὁ δὲ λέγει αὐτοῖς, Διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν·* | | ***Lk17:5*** *Καὶ εἶπαν οἱ ἀπόστολοι τῷ κυρίῳ· πρόσθες ἡμῖν πίστιν.* |
| **Mt17:20b** ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, Μετάβα ἔνθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. | | **Lk17:6** εἶπεν δὲ ὁ κύριος, Εἰ ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ [ταύτῃ], Ἐκριζώθητι καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν. |

Cf. No. 144 (Mt21:21f/Mk11:22f-25).

**Th48** Λέγει Ἰησοῦς· ἐὰν δύο εἰρηνεύσωσιν ἐν ἀλλήλοις ἐν ταύτῃ τῷ οἰκίᾳ μιᾷ, ἐροῦσιν τῷ ὄρει· μετάβα καὶ μεταβήσεται.

**Th106** (1) Ὅταν ποιήσητε τοὺς δύο ἕν, υἱοὶ τοῦ ἀνθρώπου γενήσεσθε. (2) καὶ ὅταν εἴπητε· ὄρος, μετάβα, μετάβησεται.

## No. 129 *[251].* Departure to Judea / ユダヤ地方へ旅立つ

| Mt 19:1-2 | Mk 10:1 | Lk 9:51 |
|---|---|---|
| **Mt19:1** Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. **Mt19:2** καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ. | **Mk10:1** Καὶ ἐκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας [καὶ] πέραν τοῦ Ἰορδάνου, καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς. | **Lk9:51** Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήμψεως αὐτοῦ καὶ αὐτὸς τὸ πρόσωπον ἐστήρισεν τοῦ πορεύεσθαι εἰς Ἰερουσαλήμ. |

## No. 130 *[252]*. Ban on Divorce / 離縁の禁止

| Mt 19:3-12 | Mk 10:2-12 | Lk |
|---|---|---|
| **Mt19:3** Καὶ προσῆλθον αὐτῷ Φαρισαῖοι | **Mk10:2** καὶ προσελθόντες Φαρισαῖοι | |
| πειράζοντες αὐτὸν καὶ λέγοντες, | ἐπηρώτων αὐτὸν | |
| Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ | εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, | |
| κατὰ πᾶσαν αἰτίαν; | πειράζοντες αὐτόν. | |
| **Mt19:4a** ὁ δὲ ἀποκριθεὶς εἶπεν, | **Mk10:3** ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, | |
| ---------- | | |
| **Mt19:7** λέγουσιν αὐτῷ, | | |
| Τί οὖν Μωϋσῆς ἐνετείλατο | Τί ὑμῖν ἐνετείλατο Μωϋσῆς; | |
| | **Mk10:4** οἱ δὲ εἶπαν, Ἐπέτρεψεν Μωϋσῆς | |
| δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπολῦσαι [αὐτήν]; | βιβλίον ἀποστασίου γράψαι καὶ ἀπολῦσαι. | |
| **Mt19:8** λέγει αὐτοῖς ὅτι | **Mk10:5** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, | |
| Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν | Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν | |
| ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, | ὑμῖν τὴν ἐντολὴν ταύτην. | |
| ἀπ’ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. | | |
| ---------- | | |
| **Mt19:4b** Οὐκ ἀνέγνωτε ὅτι | | |
| ὁ κτίσας ἀπ’ ἀρχῆς | **Mk10:6** ἀπὸ δὲ ἀρχῆς κτίσεως | |
| ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; | ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· | |
| **Mt19:5** καὶ εἶπεν, Ἕνεκα τούτου | **Mk10:7** ἕνεκεν τούτου | |
| καταλείψει ἄνθρωπος τὸν πατέρα | καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ | |
| καὶ τὴν μητέρα καὶ κολληθήσεται | καὶ τὴν μητέρα [καὶ προσκολληθήσεται | |
| τῇ γυναικὶ αὐτοῦ, | πρὸς τὴν γυναῖκα αὐτοῦ], | |
| καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. | **Mk10:8** καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· | |
| **Mt19:6** ὥστε οὐκέτι εἰσὶν δύο ἀλλὰ σὰρξ μία. | ὥστε οὐκέτι εἰσὶν δύο ἀλλὰ μία σάρξ. | |
| ὃ οὖν ὁ θεὸς συνέζευξεν | **Mk10:9** ὃ οὖν ὁ θεὸς συνέζευξεν | |
| ἄνθρωπος μὴ χωριζέτω. | ἄνθρωπος μὴ χωριζέτω. | |
| | ---------- | |
| ***Mt19:7*** λέγουσιν αὐτῷ, | ***Mk10:3b*** | |
| Τί οὖν Μωϋσῆς ἐνετείλατο | Τί ὑμῖν ἐνετείλατο Μωϋσῆς; | |
| | ***Mk10:4*** οἱ δὲ εἶπαν, Ἐπέτρεψεν Μωϋσῆς | |
| δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπολῦσαι [αὐτήν]; | βιβλίον ἀποστασίου γράψαι καὶ ἀπολῦσαι. | |
| ***Mt19:8*** λέγει αὐτοῖς ὅτι | ***Mk10:5*** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, | |
| Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν | Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν | |
| ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, | ἐντολὴν ταύτην. | |
| ἀπ’ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. | | |

(As for "Divorcing is Adultery" (Mt 5:32; 19:9/Mk 10:11-12/Lk 16:18), cf. No. 126)

## No. 131 *[253]*. Jesus Blesses the Children / 子供たちへの祝福

| Mt 19:13-15 | Mk 10:13-16 | Lk 18:15-17 |
|---|---|---|
| Mt19:13 Τότε προσηνέχθησαν αὐτῷ παιδία ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς καὶ προσεύξηται˙ οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. | Mk10:13 Καὶ προσέφερον αὐτῷ παιδία ἵνα αὐτῶν ἅψηται˙ οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. | Lk18:15 Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη ἵνα αὐτῶν ἅπτηται˙ ἰδόντες δὲ οἱ μαθηταὶ ἐπετίμων αὐτοῖς. |
| Mt19:14 ὁ δὲ Ἰησοῦς εἶπεν, Ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. | Mk10:14 ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησεν καὶ εἶπεν αὐτοῖς, Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, μὴ κωλύετε αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. | Lk18:16 ὁ δὲ Ἰησοῦς προσεκαλέσατο αὐτὰ λέγων, Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με καὶ μὴ κωλύετε αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. |
| ---------- *Mt18:3b Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* ---------- | Mk10:15 ἀμὴν λέγω ὑμῖν, ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. | Lk18:17 ἀμὴν λέγω ὑμῖν, ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. |

Th22 (1) Εἶδεν ὁ Ἰησοῦς παιδία λαμβάνοντα γάλα. (2) εἶπεν τοῖς μαθηταῖς αὐτου˙ ταῦτα τὰ παιδία τὰ γάλα λαμβάνοντα ὅμοιά ἐστιν τοῖς εἰσερχομένοις εἰς τὴν βασιλείαν. (3) εἶπον αὐτῷ˙ ἄρα παιδία ὄντα εἰσελευσόμεθα εἰς τὴν βασιλείαν; (4) εἶπεν Ἰησοῦς αὐτοῖς˙ ὅταν ποιήσητε τὰ δύο εἰς ἓν καὶ ποιήσατε τὰ ἔσω ὡς τὰ ἔξω ὡς τὰ ἔσω καὶ τὰ ἄνω ὡς τὰ κάτω (5) καὶ ἵνα ποιήσητε τὸ ἄρσεν καὶ τὸ θῆλυ εἰς τὸ ἕν ἵνα τὸ ἄρσεν οὐ ποιήσῃ ἄρσεν (καὶ) τὸ θῆλυ οὐ ποιήσῃ θῆλυ (6) ὅταν ποιήσητε ὀφθαλμοὺς ἀντὶ ὀφθαλμοῦ καὶ χεῖρα ἀντὶ χειρὸς καὶ πόδα ἀντὶ ποδός, εἰκόνα ἀντὶ εἰκόνος (7) τότε εἰσελεύσεσθε εἰς [τὴν βασιλείαν].

| Mt | Mk | Lk |
|---|---|---|
| Mt19:15 καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν. | Mk10:16 καὶ ἐναγκαλισάμενος αὐτὰ κατευλόγει τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά. | |

Jh3:3b ...Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ.
Jh3:5b ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

## No. 132 *[254]*. The Rich Young Man / 富める男

| Mt 19:16-22 | Mk 10:17-22 | Lk 18:18-23 |
|---|---|---|
| Mt19:16 Καὶ ἰδοὺ | Mk10:17 Καὶ ἐκπορευομένου αὐτοῦ | Lk18:18 Καὶ |
| εἷς προσελθὼν αὐτῷ | εἰς ὁδὸν προσδραμὼν εἷς καὶ | |
| | γονυπετήσας αὐτὸν ἐπηρώτα αὐτόν, | ἐπηρώτησέν τις αὐτὸν ἄρχων |
| εἶπεν, Διδάσκαλε, τί ἀγαθὸν | Διδάσκαλε ἀγαθέ, τί | λέγων, Διδάσκαλε ἀγαθέ, τί |
| ποιήσω ἵνα σχῶ ζωὴν αἰώνιον; | ποιήσω ἵνα ζωὴν αἰώνιον | ποιήσας ζωὴν αἰώνιον |
| | κληρονομήσω; | κληρονομήσω; |
| Mt19:17 ὁ δὲ εἶπεν αὐτῷ, | Mk10:18 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, | Lk18:19 εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς, |
| Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; | Τί με λέγεις ἀγαθόν; | Τί με λέγεις ἀγαθόν; |
| εἷς ἐστιν ὁ ἀγαθός· | οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. | οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. |
| εἰ δὲ θέλεις εἰς τὴν ζωὴν | | |
| εἰσελθεῖν, τήρησον τὰς ἐντολάς. | Mk10:19 τὰς ἐντολὰς οἶδας· | Lk18:20 τὰς ἐντολὰς οἶδας· |
| Mt19:18 λέγει αὐτῷ, Ποίας; ὁ δὲ | | |
| Ἰησοῦς εἶπεν, | | |
| Τὸ Οὐ φονεύσεις, | Μὴ φονεύσῃς, | Μὴ μοιχεύσῃς, |
| Οὐ μοιχεύσεις, | Μὴ μοιχεύσῃς, | Μὴ φονεύσῃς, |
| Οὐ κλέψεις, | Μὴ κλέψῃς, | Μὴ κλέψῃς, |
| Οὐ ψευδομαρτυρήσεις, | Μὴ ψευδομαρτυρήσῃς, | Μὴ ψευδομαρτυρήσῃς, |
| | Μὴ ἀποστερήσῃς, | |
| Mt19:19 Τίμα τὸν πατέρα | Τίμα τὸν πατέρα σου | Τίμα τὸν πατέρα σου |
| καὶ τὴν μητέρα, | καὶ τὴν μητέρα. | καὶ τὴν μητέρα. |
| καί, Ἀγαπήσεις τὸν πλησίον σου ὡς | | |
| σεαυτόν. | | |
| Mt19:20 λέγει αὐτῷ ὁ νεανίσκος· | Mk10:20 ὁ δὲ ἔφη αὐτῷ, | Lk18:21 ὁ δὲ εἶπεν, |
| | Διδάσκαλε, | |
| Πάντα ταῦτα ἐφύλαξα· | ταῦτα πάντα ἐφυλαξάμην | Ταῦτα πάντα ἐφύλαξα |
| | ἐκ νεότητός μου. | ἐκ νεότητος. |
| τί ἔτι ὑστερῶ; | | |
| Mt19:21 ἔφη αὐτῷ ὁ Ἰησοῦς, | Mk10:21 ὁ δὲ Ἰησοῦς ἐμβλέψας | Lk18:22 ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν |
| | αὐτῷ ἠγάπησεν αὐτὸν | |
| | καὶ εἶπεν αὐτῷ, | αὐτῷ, |
| Εἰ θέλεις τέλειος εἶναι, | Ἕν σε ὑστερεῖ· | Ἔτι ἕν σοι λείπει· |
| ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα | ὕπαγε, ὅσα ἔχεις πώλησον | πάντα ὅσα ἔχεις πώλησον |
| καὶ δὸς [τοῖς] πτωχοῖς, καὶ ἕξεις | καὶ δὸς [τοῖς] πτωχοῖς, καὶ ἕξεις | καὶ διάδος πτωχοῖς, καὶ ἕξεις |
| θησαυρὸν ἐν οὐρανοῖς, | θησαυρὸν ἐν οὐρανῷ, | θησαυρὸν ἐν [τοῖς] οὐρανοῖς, |
| καὶ δεῦρο ἀκολούθει μοι. | καὶ δεῦρο ἀκολούθει μοι. | καὶ δεῦρο ἀκολούθει μοι. |

| | | |
|---|---|---|
| Mt19:22 ἀκούσας δὲ ὁ νεανίσκος<br>τὸν λόγον ἀπῆλθεν λυπούμενος·<br>ἦν γὰρ ἔχων κτήματα πολλά. | Mk10:22 ὁ δὲ στυγνάσας ἐπὶ<br>τῷ λόγῳ ἀπῆλθεν λυπούμενος·<br>ἦν γὰρ ἔχων κτήματα πολλά. | Lk18:23 ὁ δὲ ἀκούσας ταῦτα<br>περίλυπος ἐγενήθη·<br>ἦν γὰρ πλούσιος σφόδρα. |

## No. 133 *[255a]*. The Camel and the Needle Hole / らくだと針の穴

| Mt 19:23-26 | Mk 10:23-27 | Lk18:24-27 |
|---|---|---|
| Mt19:23 Ὁ δὲ Ἰησοῦς<br>εἶπεν τοῖς μαθηταῖς αὐτοῦ,<br>Ἀμὴν λέγω ὑμῖν ὅτι | Mk10:23 Καὶ περιβλεψάμενος<br>ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ, | Lk18:24 Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς<br>[περίλυπον γενόμενον] εἶπεν, |
| πλούσιος δυσκόλως εἰσελεύσεται<br>εἰς τὴν βασιλείαν<br>τῶν οὐρανῶν. | Πῶς δυσκόλως οἱ τὰ χρήματα<br>ἔχοντες εἰς τὴν βασιλείαν<br>τοῦ θεοῦ εἰσελεύσονται. | Πῶς δυσκόλως οἱ τὰ χρήματα<br>ἔχοντες εἰς τὴν βασιλείαν<br>τοῦ θεοῦ εἰσπορεύονται· |
| | Mk10:24 οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο<br>ἐπὶ τοῖς λόγοις αὐτοῦ. | |
| Mt19:24 πάλιν δὲ λέγω ὑμῖν, | ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει<br>αὐτοῖς,<br>Τέκνα, πῶς δύσκολόν ἐστιν εἰς τὴν<br>βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν· | |
| εὐκοπώτερόν ἐστιν<br>κάμηλον διὰ τρυπήματος<br>ῥαφίδος διελθεῖν ἢ πλούσιον<br>εἰσελθεῖν<br>εἰς τὴν βασιλείαν τοῦ θεοῦ. | Mk10:25 εὐκοπώτερόν ἐστιν<br>κάμηλον διὰ [τῆς] τρυμαλιᾶς [τῆς]<br>ῥαφίδος διελθεῖν ἢ πλούσιον<br>εἰς τὴν βασιλείαν τοῦ θεοῦ<br>εἰσελθεῖν. | Lk18:25 εὐκοπώτερον γάρ ἐστιν<br>κάμηλον διὰ τρήματος βελόνης<br>εἰσελθεῖν ἢ πλούσιον<br>εἰς τὴν βασιλείαν τοῦ θεοῦ<br>εἰσελθεῖν. |
| Mt19:25 ἀκούσαντες δὲ οἱ μαθηταὶ<br>ἐξεπλήσσοντο σφόδρα λέγοντες, | Mk10:26 οἱ δὲ περισσῶς<br>ἐξεπλήσσοντο λέγοντες πρὸς<br>ἑαυτούς, | Lk18:26 εἶπαν δὲ οἱ ἀκούσαντες, |
| Τίς ἄρα δύναται σωθῆναι; | Καὶ τίς δύναται σωθῆναι; | Καὶ τίς δύναται σωθῆναι; |
| Mt19:26 ἐμβλέψας δὲ ὁ Ἰησοῦς<br>εἶπεν αὐτοῖς, | Mk10:27 ἐμβλέψας αὐτοῖς ὁ Ἰησοῦς<br>λέγει, | Lk18:27 ὁ δὲ<br>εἶπεν, |
| Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν<br>ἐστιν, | Παρὰ ἀνθρώποις ἀδύνατον,<br>ἀλλ' οὐ παρὰ θεῷ· | Τὰ ἀδύνατα παρὰ ἀνθρώποις |
| παρὰ δὲ θεῷ πάντα δυνατά. | πάντα γὰρ δυνατὰ παρὰ τῷ θεῷ. | δυνατὰ παρὰ τῷ θεῷ ἐστιν. |

## No. 134 *[255b]*. The Rewards of Discipleship / 信従の報い

| Mt 19:27-30 | Mk 10:28-31 | Lk 18:28-30 |
| --- | --- | --- |
| **Mt19:27** Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, | **Mk10:28** Ἤρξατο λέγειν ὁ Πέτρος αὐτῷ, | **Lk18:28** Εἶπεν δὲ ὁ Πέτρος, |
| Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι˙ | Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήκαμέν σοι. | Ἰδοὺ ἡμεῖς ἀφέντες τὰ ἴδια ἠκολουθήσαμέν σοι. |
| τί ἄρα ἔσται ἡμῖν; | | |
| **Mt19:28** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν ὅτι | **Mk10:29** ἔφη ὁ Ἰησοῦς, Ἀμὴν λέγω ὑμῖν, | **Lk18:29** ὁ δὲ εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν ὅτι |
| | | ---------- |
| ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, | | ***Lk22:28*** *ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου˙* ***Lk22:29*** *κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν,* ***Lk22:30*** *ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ* |
| καθήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. | Cf. No. 168. | *καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραήλ.* |
| | | ---------- |
| **Mt19:29** καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίας | οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν | οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν |
| ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ τέκνα ἢ ἀγροὺς | ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ μητέρα ἢ πατέρα ἢ τέκνα ἢ ἀγροὺς | ἢ γυναῖκα ἢ ἀδελφοὺς ἢ γονεῖς ἢ τέκνα |
| ἕνεκεν τοῦ ὀνόματός μου, | ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου, | ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ, |
| | **Mk10:30** ἐὰν μὴ λάβῃ | **Lk18:30** ὃς οὐχὶ μὴ [ἀπο]λάβῃ |
| ἑκατονταπλασίονα λήμψεται | ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς μετὰ διωγμῶν, | πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ |
| καὶ ζωὴν αἰώνιον κληρονομήσει. | καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. | καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. |
| | | ---------- |
| **Mt19:30** Πολλοὶ δὲ | **Mk10:31** πολλοὶ δὲ | |

| | | |
|---|---|---|
| ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.<br>---------<br>*Mt20:16 οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι.* | ἔσονται πρῶτοι ἔσχατοι καὶ [οἱ] ἔσχατοι πρῶτοι.<br>Cf. No. 117. | *Lk13:30 καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι.* |

**Th4** (1) λέγει Ἰησοῦς· οὐκ ἀποκνήσει ἄνθρωπος παλαιὸς ἡμερῶν ἐπερωτῆσαι παιδίον ἑπτὰ ἡμερῶν περὶ τοῦ τόπου τῆς ζωῆς, καὶ ζήσεται. (2) ὅτι πολλοὶ ἔσονται πρῶτοι ἔσχατοι (3) καὶ εἷς γενήσουσιν.
**Poxy 654, 21-27** [λέγει Ἰη(σοῦ)ς]· οὐκ ἀποκνήσει ἄνθ[ρωπος παλαιὸς ἡμε]ρῶν ἐπερωτῆσε πα[ιδίον ἑπτὰ ἡμε]ρῶν περὶ τοῦ τόπου τῆ[ς ζωῆς, καὶ ζή]σετε· ὅτι πολλοὶ ἔσονται π[ρῶτοι ἔσχατοι και] οἱ ἔσχατοι πρῶτοι, καὶ [εἰς ἓν καταντήσου]σιν.

## No. 135 *[262]*. The Third Prediction of the Passion and Resurrection / 第三回受難復活予告

| Mt 20:17-19 | Mk 10:32-34 | Lk 18:31-34 |
|---|---|---|
| **Mt20:17** Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα | **Mk10:32** Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, οἱ δὲ ἀκολουθοῦντες ἐφοβοῦντο. | |
| παρέλαβεν τοὺς δώδεκα [μαθητὰς] κατ' ἰδίαν καὶ ἐν τῇ ὁδῷ | καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα | **Lk18:31** Παραλαβὼν δὲ τοὺς δώδεκα |
| εἶπεν αὐτοῖς, | ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν | εἶπεν πρὸς αὐτούς, |
| **Mt20:18** Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, | **Mk10:33** ὅτι Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, | Ἰδοὺ ἀναβαίνομεν εἰς Ἰερουσαλήμ, |
| καὶ | καὶ | καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν |
| ὁ υἱὸς τοῦ ἀνθρώπου | ὁ υἱὸς τοῦ ἀνθρώπου | τῷ υἱῷ τοῦ ἀνθρώπου· |
| παραδοθήσεται τοῖς ἀρχιερεῦσιν | παραδοθήσεται τοῖς ἀρχιερεῦσιν | |
| καὶ γραμματεῦσιν, | καὶ τοῖς γραμματεῦσιν, | |
| καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ | καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ | |
| **Mt20:19** καὶ παραδώσουσιν αὐτὸν | καὶ παραδώσουσιν αὐτὸν | **Lk18:32** παραδοθήσεται γὰρ |
| τοῖς ἔθνεσιν | τοῖς ἔθνεσιν | τοῖς ἔθνεσιν |
| εἰς τὸ ἐμπαῖξαι | **Mk10:34** καὶ ἐμπαίξουσιν αὐτῷ | καὶ ἐμπαιχθήσεται καὶ ὑβρισθήσεται |
| | καὶ ἐμπτύσουσιν αὐτῷ | καὶ ἐμπτυσθήσεται |
| καὶ μαστιγῶσαι | καὶ μαστιγώσουσιν αὐτὸν | **Lk18:33** καὶ μαστιγώσαντες |
| καὶ σταυρῶσαι, | καὶ ἀποκτενοῦσιν, | ἀποκτενοῦσιν αὐτόν, |

| | | |
|---|---|---|
| καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. | καὶ μετὰ τρεῖς ἡμέρας ἀναστήσεται. | καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται. **Lk18:34** καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. |

## No. 136 *[263a]*. The Sons of Zebedee / ゼベダイの子らの願い

| Mt 20:20-24 | Mk 10:35-41 | Lk |
|---|---|---|
| **Mt20:20** Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς προσκυνοῦσα καὶ αἰτοῦσά τι ἀπ' αὐτοῦ. | **Mk10:35** Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου λέγοντες αὐτῷ, Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμέν σε ποιήσῃς ἡμῖν. | |
| **Mt20:21** ὁ δὲ εἶπεν αὐτῇ, Τί θέλεις; | **Mk10:36** ὁ δὲ εἶπεν αὐτοῖς, Τί θέλετέ [με] ποιήσω ὑμῖν; | |
| λέγει αὐτῷ, Εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου. | **Mk10:37** οἱ δὲ εἶπαν αὐτῷ, Δὸς ἡμῖν ἵνα εἷς σου ἐκ δεξιῶν καὶ εἷς ἐξ ἀριστερῶν καθίσωμεν ἐν τῇ δόξῃ σου. | |
| **Mt20:22** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν; | **Mk10:38** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; | ---------- *Lk12:50 βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως ὅτου τελεσθῇ.* ----------- |
| λέγουσιν αὐτῷ, Δυνάμεθα. | **Mk10:39** οἱ δὲ εἶπαν αὐτῷ, Δυνάμεθα. | |
| **Mt20:23** λέγει αὐτοῖς, Τὸ μὲν ποτήριόν μου πίεσθε, | ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Τὸ ποτήριον ὃ ἐγὼ πίνω πίεσθε καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε, | |
| τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν [τοῦτο] δοῦναι, ἀλλ' οἷς ἡτοίμασται | **Mk10:40** τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. | |

| | | |
|---|---|---|
| ὑπὸ τοῦ πατρός μου. | | |
| **Mt20:24** Καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. | **Mk10:41** Καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. | |

## No. 137 *[263b.313a].* Precedence among the Disciples / 最も大いなる者

| Mt20:25-28 | Mk10:42-45 | Lk 22:24-27 |
|---|---|---|
| | | **Lk22:24** Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. |
| **Mt20:25** ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν, | **Mk10:42** καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς, | **Lk22:25** ὁ δὲ εἶπεν αὐτοῖς, |
| Οἴδατε ὅτι | Οἴδατε ὅτι | |
| οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν | οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν | Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν |
| καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. | καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. | καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. |
| **Mt20:26** οὐχ οὕτως ἔσται ἐν ὑμῖν, | **Mk10:43** οὐχ οὕτως δέ ἐστιν ἐν ὑμῖν, | **Lk22:26** ὑμεῖς δὲ οὐχ οὕτως, |
| ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι | ἀλλ' ὃς ἂν θέλῃ μέγας γενέσθαι ἐν ὑμῖν, | ἀλλ' ὁ μείζων ἐν ὑμῖν |
| ἔσται ὑμῶν διάκονος, | ἔσται ὑμῶν διάκονος, | γινέσθω ὡς ὁ νεώτερος |
| **Mt20:27** καὶ ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος | **Mk10:44** καὶ ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος | καὶ ὁ ἡγούμενος |
| ἔσται ὑμῶν δοῦλος· | ἔσται πάντων δοῦλος· | ὡς ὁ διακονῶν. |
| *Cf. No. 83. | ----------<br>***Mk9:35**** *καὶ καθίσας ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς, Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος.* | |

**Th46** (1) Λέγει Ἰησοῦς· ἀπὸ Αδὰμ μέχρι Ἰωάννου τοῦ βαπτιστοῦ ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωαννου του βαπτιστοῦ οὐδεἱς ἐστιν, ἵνα μὴ (...) οἱ ὀφθαλμοὶ αὐτοῦ. (2) εἶπον δὲ · ὅστις μικρὸς γενήσεται ἐν ὑμῖν την βασιλεὶαν γνώσεται καὶ μείζων Ἰωαννοῦ ἔσται.

| | | |
|---|---|---|
| Mt20:28 ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. | ----------<br>Mk10:45 καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. | Lk22:27 τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμι ὡς ὁ διακονῶν. |
| ----------<br>***Mt19:28*** *ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι* | | ***Lk22:28*** *ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου·*<br>***Lk22:29*** *κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν,* |
| *ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ,*<br>*καθήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.* | Cf. No. 168. | ***Lk22:30*** *ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραήλ.* |

## No. 138 *[96. 264]*. The Healing of the Blind in Jericho / エリコの盲人の癒し

| Mt 20:29-34 | Mt 9:27-31 | Mk 10:46-52 | Lk 18:35-43 |
|---|---|---|---|
| | Mt9:27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ | Mk10:46 Καὶ ἔρχονται εἰς Ἰεριχώ. | Lk18:35 Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχὼ |
| Mt20:29 Καὶ ἐκπορευομένων αὐτῶν | | καὶ ἐκπορευομένου αὐτοῦ | |
| ἀπὸ Ἰεριχὼ | | ἀπὸ Ἰεριχὼ καὶ τῶν μαθητῶν αὐτοῦ | |
| ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. | ἠκολούθησαν [αὐτῷ] | καὶ ὄχλου ἱκανοῦ | |
| Mt20:30 καὶ ἰδοὺ δύο τυφλοὶ | δύο τυφλοὶ | ὁ υἱὸς Τιμαίου Βαρτιμαῖος, | |
| καθήμενοι | | τυφλὸς προσαίτης, | τυφλός τις |
| παρὰ τὴν ὁδόν | | ἐκάθητο παρὰ τὴν ὁδόν. | ἐκάθητο παρὰ τὴν ὁδὸν ἐπαιτῶν. |
| ἀκούσαντες | | Mk10:47 καὶ ἀκούσας | Lk18:36 ἀκούσας δὲ ὄχλου διαπορευομένου ἐπυνθάνετο τί εἴη |

| | | | |
|---|---|---|---|
| | | | τοῦτο. |
| | | | **Lk18:37** ἀπήγγειλαν δὲ αὐτῷ |
| ὅτι Ἰησοῦς | | ὅτι Ἰησοῦς ὁ Ναζαρηνός ἐστιν | ὅτι Ἰησοῦς ὁ Ναζωραῖος |
| παράγει, | | ἤρξατο | παρέρχεται. |
| ἔκραξαν | κράζοντες καὶ | κράζειν | |
| λέγοντες, | λέγοντες, | καὶ λέγειν, Υἱὲ Δαυίδ | **Lk18:38** καὶ ἐβόησεν λέγων, Ἰησοῦ |
| Ἐλέησον ἡμᾶς, | Ἐλέησον | Ἰησοῦ, ἐλέησόν με. | υἱὲ Δαυίδ , ἐλέησόν με. |
| [κύριε], | ἡμᾶς, | | |
| υἱὸς Δαυίδ. | υἱὸς Δαυίδ. | | |
| **Mt20:31** ὁ δὲ | | **Mk10:48** καὶ | **Lk18:39** καὶ οἱ προάγοντες |
| ὄχλος | | ἐπετίμων αὐτῷ πολλοὶ | ἐπετίμων αὐτῷ |
| ἐπετίμησεν | | | |
| αὐτοῖς ἵνα | | ἵνα σιωπήσῃ· | ἵνα σιγήσῃ, |
| σιωπήσωσιν· | | | |
| οἱ δὲ μεῖζον | | ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν, | αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, |
| ἔκραξαν | | | |
| λέγοντες, | | | |
| Ἐλέησον ἡμᾶς, | | Υἱὲ Δαυίδ, ἐλέησόν με. | Υἱὲ Δαυίδ, ἐλέησόν με. |
| κύριε, υἱὸς | | | |
| Δαυίδ. | | | |
| **Mt20:32** καὶ | | **Mk10:49** καὶ | |
| στὰς ὁ Ἰησοῦς | | στὰς ὁ Ἰησοῦς εἶπεν, | **Lk18:40** σταθεὶς δὲ ὁ Ἰησοῦς |
| ἐφώνησεν αὐτοὺς | | Φωνήσατε αὐτόν. | ἐκέλευσεν αὐτὸν ἀχθῆναι |
| | | καὶ φωνοῦσιν τὸν τυφλὸν λέγοντες | |
| | **Mt9:28** ἐλθόντι | αὐτῷ, Θάρσει, ἔγειρε, φωνεῖ σε. | |
| | δὲ εἰς τὴν οἰκίαν | **Mk10:50** ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον | |
| | | αὐτοῦ ἀναπηδήσας ἦλθεν πρὸς τὸν | πρὸς αὐτόν. |
| | προσῆλθον αὐτῷ | Ἰησοῦν. | ἐγγίσαντος δὲ αὐτοῦ |
| | οἱ τυφλοί, | | |
| καὶ εἶπεν, | καὶ λέγει αὐτοῖς | **Mk10:51** καὶ ἀποκριθεὶς αὐτῷ | ἐπηρώτησεν αὐτόν, |
| | ὁ Ἰησοῦς, | ὁ Ἰησοῦς εἶπεν, | |
| Τί θέλετε | Πιστεύετε ὅτι | Τί σοι θέλεις | **Lk18:41** Τί σοι θέλεις |
| ποιήσω ὑμῖν; | δύναμαι τοῦτο | ποιήσω; | ποιήσω; |
| **Mt20:33** | ποιῆσαι; | | |
| λέγουσιν αὐτῷ , | λέγουσιν αὐτῷ, | ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ , | ὁ δὲ εἶπεν, |
| Κύριε, ἵνα | Ναί κύριε. | Ῥαββουνι, ἵνα ἀναβλέψω. | Κύριε, ἵνα ἀναβλέψω. |
| ἀνοιγῶσιν οἱ | | | |
| ὀφθαλμοὶ ἡμῶν. | | | |
| **Mt20:34** | **Mt9:29** τότε | | |

| | | | |
|---|---|---|---|
| σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο τῶν ὀμμάτων αὐτῶν, | ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων, | Mk10:52a καὶ ὁ Ἰησοῦς<br>εἶπεν αὐτῷ,<br>Ὕπαγε, | Lk18:42 καὶ ὁ Ἰησοῦς<br>εἶπεν αὐτῷ,<br>Ἀνάβλεψον· |
| | Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. | ἡ πίστις σου σέσωκέν σε. | ἡ πίστις σου σέσωκέν σε. |
| καὶ εὐθέως ἀνέβλεψαν | Mt9:30 καὶ ἠνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί. | καὶ εὐθὺς ἀνέβλεψεν | Lk18:43 καὶ παραχρῆμα ἀνέβλεψεν |
| | καὶ ἐνεβριμήθη αὐτοῖς ὁ Ἰησοῦς λέγων, Ὁρᾶτε μηδεὶς γινωσκέτω.<br>Mt9:31 οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. | ----------<br>*Mk1:43 καὶ ἐμβριμησάμενος αὐτῷ εὐθὺς ἐξέβαλεν αὐτόν*<br>*Mk1:44a καὶ λέγει αὐτῷ, Ὅρα μηδενὶ μηδὲν εἴπῃς……*<br>*Mk1:45a ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον ……*<br>---------- | |
| καὶ ἠκολούθησαν αὐτῷ. | | Mk10:52b καὶ ἠκολούθει αὐτῷ<br>ἐν τῇ ὁδῷ. | καὶ ἠκολούθει αὐτῷ<br>δοξάζων τὸν θεόν.<br>καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ θεῷ. |

## No. 139 *[266. 294a. 299].* The Parable of the Entrusted Money / 託された金の譬

| Mt 25:14-30 | Mk13:34 | Lk 19:11-27 |
|---|---|---|
| | Cf. No. 161. | Lk19:11 Ἀκουόντων δὲ αὐτῶν ταῦτα προσθεὶς εἶπεν παραβολὴν διὰ τὸ ἐγγὺς εἶναι Ἰερουσαλὴμ αὐτὸν καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ ἀναφαίνεσθαι.<br>Lk19:12 εἶπεν οὖν, |

**Mt25:14** Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν

ἐκάλεσεν τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ,

**Mt25:15** καὶ ᾧ μὲν ἔδωκεν πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν. εὐθέως

**Mt25:16** πορευθεὶς ὁ τὰ πέντε τάλαντα λαβὼν ἠργάσατο ἐν αὐτοῖς καὶ ἐκέρδησεν ἄλλα πέντε·

**Mt25:17** ὡσαύτως ὁ τὰ δύο ἐκέρδησεν ἄλλα δύο.

**Mt25:18** ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν γῆν καὶ ἔκρυψεν τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

**Mt25:19** μετὰ δὲ πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων

καὶ συναίρει λόγον μετ' αὐτῶν.

**Mt25:20** καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων,

Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα.

**Mt25:21** ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ,

Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

**Mt25:22** προσελθὼν [δὲ] καὶ ὁ τὰ δύο τάλαντα εἶπεν,

Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα.

**Mt25:23** ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ,

Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς

**Mk13:34** ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ

καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν ἑκάστῳ τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ.

Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι.

**Lk19:13** καλέσας δὲ δέκα δούλους ἑαυτοῦ

ἔδωκεν αὐτοῖς δέκα μνᾶς

καὶ εἶπεν πρὸς αὐτούς,

Πραγματεύσασθε ἐν ᾧ ἔρχομαι.

**Lk19:14** οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτόν καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες, Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς.

**Lk19:15** Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν

καὶ εἶπεν φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους οἷς δεδώκει τὸ ἀργύριον, ἵνα γνοῖ τί διεπραγματεύσαντο.

**Lk19:16** παρεγένετο δὲ ὁ πρῶτος

λέγων,

Κύριε, ἡ μνᾶ σου δέκα προσηργάσατο μνᾶς.

**Lk19:17** καὶ εἶπεν αὐτῷ,

Εὖγε, ἀγαθὲ δοῦλε, ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.

**Lk19:18** καὶ ἦλθεν ὁ δεύτερος λέγων, Ἡ μνᾶ σου,

κύριε, ἐποίησεν πέντε μνᾶς.

**Lk19:19** εἶπεν δὲ καὶ τούτῳ,

| | | |
|---|---|---|
| πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. | | Καὶ σὺ ἐπάνω γίνου πέντε πόλεων. |
| **Mt25:24** προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς εἶπεν,<br>Κύριε, | | **Lk19:20** καὶ ὁ ἕτερος ἦλθεν λέγων,<br>Κύριε, ἰδοὺ ἡ μνᾶ σου ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ· |
| ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος,<br>θερίζων ὅπου οὐκ ἔσπειρας<br>καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας, | | **Lk19:21** ἐφοβούμην γάρ σε,<br>ὅτι ἄνθρωπος αὐστηρὸς εἶ,<br>αἴρεις ὃ οὐκ ἔθηκας<br>καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. |
| **Mt25:25** καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν. | | |
| **Mt25:26** ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ,<br>Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ᾔδεις ὅτι | | **Lk19:22** λέγει αὐτῷ,<br>Ἐκ τοῦ στόματός σου κρινῶ σε,<br>πονηρὲ δοῦλε. ᾔδεις ὅτι<br>ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, |
| θερίζω ὅπου οὐκ ἔσπειρα<br>καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα; | | αἴρων ὃ οὐκ ἔθηκα<br>καὶ θερίζων ὃ οὐκ ἔσπειρα; |
| **Mt25:27** ἔδει σε οὖν βαλεῖν τὰ ἀργύριά μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. | | **Lk19:23** καὶ διὰ τί οὐκ ἔδωκάς μου τὸ ἀργύριον ἐπὶ τράπεζαν; κἀγὼ ἐλθὼν σὺν τόκῳ ἂν αὐτὸ ἔπραξα. |
| **Mt25:28** ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα· | | **Lk19:24** καὶ τοῖς παρεστῶσιν εἶπεν,<br>Ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν<br>καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι |
| | | **Lk19:25** καὶ εἶπαν αὐτῷ,<br>Κύριε, ἔχει δέκα μνᾶς |
| **Mt25:29** τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται<br>καὶ περισσευθήσεται,<br>τοῦ δὲ μὴ ἔχοντος<br>καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. | | **Lk19:26** λέγω ὑμῖν ὅτι<br>παντὶ τῷ ἔχοντι δοθήσεται,<br>ἀπὸ δὲ τοῦ μὴ ἔχοντος<br>καὶ ὃ ἔχει ἀρθήσεται. |
| ---------- | ---------- | ---------- |
| ***Mt13:12*** *ὅστις γὰρ ἔχει,*<br>*δοθήσεται αὐτῷ*<br>*καὶ περισσευθήσεται·*<br>*ὅστις δὲ οὐκ ἔχει,*<br>*καὶ ὃ ἔχει ἀρθήσεται*<br>*ἀπ' αὐτοῦ.* | ***Mk4:25*** *ὃς γὰρ ἔχει,*<br>*δοθήσεται αὐτῷ·*<br>*καὶ ὃς οὐκ ἔχει,*<br>*καὶ ὃ ἔχει ἀρθήσεται*<br>*ἀπ' αὐτοῦ.* | ***Lk8:18b*** *ὃς ἂν γὰρ ἔχῃ,*<br>*δοθήσεται αὐτῷ,*<br>*καὶ ὃς ἂν μὴ ἔχῃ,*<br>*καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται*<br>*ἀπ' αὐτοῦ.* |

Cf. No. 51 (Mk4:25 par).

**Th41** (1) Λέγει Ἰησοῦς˙ ὅστις ἔχει ἐν τῇ χειρὶ αὐτοῦ, δοθήσεται αὐτῷ.
(2) καὶ ὅστις οὐκ ἔχει, καὶ τὸ μικρὸν ὃ ἔχει ἀρθήσεται ἀπ’ αὐτοῦ.

| | | |
|---|---|---|
| ---------- | ---------- | ---------- |
| **Mt25:30** καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον˙ ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.* | | **Lk19:27** πλὴν τοὺς ἐχθρούς μου τούτους τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ’ αὐτοὺς ἀγάγετε ὧδε καὶ κατασφάξατε αὐτοὺς ἔμπροσθέν μου. |

* As for this expression, cf. the note to No. 117.

## No. 140 *[269a]*. Finding a Colt / ろばの子を得て

| Mt 21:1-7 | Mk 11:1-7 | Lk 19:28-35 |
|---|---|---|
| **Mt21:1** Καὶ ὅτε ἤγγισαν | **Mk11:1** Καὶ ὅτε ἐγγίζουσιν | **Lk19:28** Καὶ εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων |
| εἰς Ἱεροσόλυμα | Εἰς Ἱεροσόλυμα | εἰς Ἱεροσόλυμα. |
| καὶ ἦλθον | | **Lk19:29** Καὶ ἐγένετο ὡς ἤγγισεν |
| εἰς Βηθφαγὴ εἰς | εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς | εἰς Βηθφαγὴ καὶ Βηθανία[ν] πρὸς |
| τὸ Ὄρος τῶν Ἐλαιῶν, τότε Ἰησοῦς | τὸ Ὄρος τῶν Ἐλαιῶν, | τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν, |
| ἀπέστειλεν δύο μαθητὰς | ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ | ἀπέστειλεν δύο τῶν μαθητῶν |
| **Mt21:2** λέγων αὐτοῖς, Πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως | **Mk11:2** καὶ λέγει αὐτοῖς, Ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν , καὶ εὐθὺς εἰσπορευόμενοι | **Lk19:30** λέγων, Ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ |
| εὑρήσετε ὄνον δεδεμένην | εἰς αὐτὴν εὑρήσετε | εἰσπορευόμενοι εὑρήσετε |
| καὶ πῶλον μετ’ αὐτῆς˙ | πῶλον δεδεμένον | πῶλον δεδεμένον, |
| | ἐφ’ ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκάθισεν˙ | ἐφ’ ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισεν, |
| λύσαντες ἀγάγετέ μοι. | λύσατε αὐτὸν καὶ φέρετε. | καὶ λύσαντες αὐτὸν ἀγάγετε. |
| **Mt21:3** καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, | **Mk11:3** καὶ ἐάν τις ὑμῖν εἴπῃ, Τί ποιεῖτε τοῦτο; | **Lk19:31** καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, Διὰ τί λύετε; |
| ἐρεῖτε ὅτι Ὁ κύριος αὐτῶν χρείαν ἔχει˙ εὐθὺς δὲ ἀποστελεῖ αὐτούς. | εἴπατε, Ὁ κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθὺς αὐτὸν ἀποστέλλει πάλιν ὧδε. | οὕτως ἐρεῖτε˙ ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. |
| **Mt21:4** Τοῦτο δὲ γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος, | **Jh12:14** εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ’ αὐτό, καθώς ἐστιν γεγραμμένον, **Jh12:15** Μὴ φοβοῦ, θυγάτηρ Σιών˙ ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου. | |
| **Mt21:5** Εἴπατε τῇ θυγατρὶ Σιών˙ Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι | | |

| | | |
|---|---|---|
| πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ ἐπὶ πῶλον υἱὸν ὑποζυγίου. | | |
| Mt21: 6 πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς συνέταξεν αὐτοῖς | Mk11:4 καὶ ἀπῆλθον καὶ εὗρον πῶλον δεδεμένον πρὸς θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου καὶ λύουσιν αὐτόν. | Lk19:32 ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς. |
| | Mk11:5 καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς, Τί ποιεῖτε λύοντες τὸν πῶλον; | Lk19:33 λυόντων δὲ αὐτῶν τὸν πῶλον εἶπαν οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς, Τί λύετε τὸν πῶλον; |
| ὁ Ἰησοῦς | Mk11:6 οἱ δὲ εἶπαν αὐτοῖς καθὼς εἶπεν ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. | Lk19:34 οἱ δὲ εἶπαν· ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. |
| Mt21:7 ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον καὶ ἐπέθηκαν ἐπ᾽ αὐτῶν τὰ ἱμάτια, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. | Mk11:7 καὶ φέρουσιν τὸν πῶλον πρὸς τὸν Ἰησοῦν καὶ ἐπιβάλλουσιν αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽ αὐτόν. | Lk19:35 καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν καὶ ἐπιρίψαντες αὐτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν Ἰησοῦν. |

## No. 141 *[269b]*. The Entry into Jerusalem / エルサレム入城

| Mt 21:8-11 | Mk 11:8-11a | Lk 19:36-40 |
|---|---|---|
| Mt21:8 ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. | Mk11:8 καὶ πολλοὶ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν, ἄλλοι δὲ στιβάδας κόψαντες ἐκ τῶν ἀγρῶν. | Lk19:36 πορευομένου δὲ αὐτοῦ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. |
| Mt21:9 οἱ δὲ ὄχλοι οἱ προάγοντες αὐτὸν καὶ οἱ ἀκολουθοῦντες ἔκραζον | Mk11:9 καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, | Lk19:37 Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ Ὄρους τῶν Ἐλαιῶν ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων, |
| λέγοντες, | | Lk19:38 λέγοντες, |
| Ὡσαννὰ τῷ υἱῷ Δαυίδ· | Ὡσαννά· | |
| Εὐλογημένος ὁ ἐρχόμενος | Εὐλογημένος ὁ ἐρχόμενος | Εὐλογημένος ὁ ἐρχόμενος, |
| | | ὁ βασιλεὺς |
| ἐν ὀνόματι κυρίου· | ἐν ὀνόματι κυρίου· | ἐν ὀνόματι κυρίου· |
| | Mk11:10 Εὐλογημένη ἡ ἐρχομένη | |

| | | |
|---|---|---|
| Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. | βασιλεία τοῦ πατρὸς ἡμῶν Δαυίδ· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. | ἐν οὐρανῷ εἰρήνη καὶ δόξα ἐν ὑψίστοις. |

**Jh12:12** Τῇ ἐπαύριον ὁ ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα **Jh12:13** ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ καὶ ἐκραύγαζον, Ὡσαννά· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, [καὶ] ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

| | | |
|---|---|---|
| **Mt21:10** καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα, Τίς ἐστιν οὗτος; **Mt21:11** οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν ὁ προφήτης Ἰησοῦς ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας. | **Mk11:11a** Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερόν καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα. | **Lk19:39** καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπαν πρὸς αὐτόν, Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου. **Lk19:40** καὶ ἀποκριθεὶς εἶπεν, Λέγω ὑμῖν, ἐὰν οὗτοι σιωπήσουσιν, οἱ λίθοι κράξουσιν. |

## No. 142 *[271. 273. 274]*. Criticism against the Temple / 神殿批判行動

| Mt 21:12-17 | Mk 11:15-19 | Lk 19:45-48 |
|---|---|---|
| | **Mk11:15** Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα. | |
| **Mt21:12** Καὶ εἰσῆλθεν Ἰησοῦς εἰς τὸ ἱερόν καὶ ἐξέβαλεν πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς, | καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ τοὺς ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψεν, **Mk11:16** καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ. | **Lk19:45** Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας |
| **Mt21:13** καὶ λέγει αὐτοῖς, Γέγραπται, Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπήλαιον λῃστῶν. | **Mk11:17** καὶ ἐδίδασκεν καὶ ἔλεγεν αὐτοῖς, Οὐ γέγραπται ὅτι Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν; ὑμεῖς δὲ πεποιήκατε αὐτὸν σπήλαιον λῃστῶν. | **Lk19:46** λέγων αὐτοῖς, Γέγραπται, Καὶ ἔσται ὁ οἶκός μου οἶκος προσευχῆς, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. |

**Jh2:13** Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. **Jh2:14** καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους, **Jh2:15** καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεεν τὸ κέρμα καὶ τὰς τραπέζας ἀνέτρεψεν, **Jh2:16** καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου.

| | | |
|---|---|---|
| **Mt21:14** Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς.<br>**Mt21:15** ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν καὶ τοὺς παῖδας τοὺς κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας, Ὡσαννὰ τῷ υἱῷ Δαυίδ, ἠγανάκτησαν<br>**Mt21:16** καὶ εἶπαν αὐτῷ, Ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, Ναί. οὐδέποτε ἀνέγνωτε<br>ὅτι **Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;** | **Mk11:18** καὶ ἤκουσαν<br>οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς<br>καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν·<br><br>ἐφοβοῦντο γὰρ αὐτόν,<br>πᾶς γὰρ ὁ ὄχλος<br>ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. | **Lk19:47** Καὶ ἦν διδάσκων τὸ καθ’ ἡμέραν ἐν τῷ ἱερῷ.<br>οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς<br>ἐζήτουν αὐτὸν ἀπολέσαι<br>καὶ οἱ πρῶτοι τοῦ λαοῦ,<br>**Lk19:48** καὶ οὐχ εὕρισκον τὸ τί ποιήσωσιν, ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων.<br><br>----------<br>***Lk19:39*** *καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπαν πρὸς αὐτόν, Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.*<br>***Lk19:40*** *καὶ ἀποκριθεὶς εἶπεν, Λέγω ὑμῖν, ἐὰν οὗτοι σιωπήσουσιν, οἱ λίθοι κράξουσιν.* |
| | **Mk11:19** Καὶ ὅταν ὀψὲ ἐγένετο, ἐξεπορεύοντο ἔξω τῆς πόλεως.<br>---------- | |
| **Mt21:17** Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ. | ***Mk11:11b*** *……ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.* | |

**Jh8:1** Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. **Jh8:2** Ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερόν καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν, καὶ καθίσας ἐδίδασκεν αὐτούς.

## No. 143 *[272. 275a].* The Fig Tree Cursed and Withered / 呪われ枯れる無花果の木

| Mt 21:18-20 | Mk 11:12-14. 20-21 | Lk |
|---|---|---|
| **Mt21:18** Πρωῒ* δὲ ἐπανάγων εἰς τὴν πόλιν ἐπείνασεν. *Cf. Mk 11:20. | **Mk11:12** Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασεν. | |
| **Mt21:19** καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ’ αὐτήν καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον, | **Mk11:13** καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν ἔχουσαν φύλλα ἦλθεν, εἰ ἄρα τι εὑρήσει ἐν αὐτῇ, καὶ ἐλθὼν ἐπ’ αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα· ὁ γὰρ καιρὸς οὐκ ἦν σύκων. | |
| καὶ λέγει αὐτῇ, Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. | **Mk11:14** καὶ ἀποκριθεὶς εἶπεν αὐτῇ, Μηκέτι εἰς τὸν αἰῶνα ἐκ σοῦ μηδεὶς καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ. | |
| καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. | ---------- | |
| | *Cf. Mt21:18. | |
| **Mt21:20** καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες, | **Mk11:20** Καὶ παραπορευόμενοι πρωῒ* εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. | |
| Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; | **Mk11:21** καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ, Ῥαββί, ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται. | |

## No. 144 *[275b].* On Faith / 信について

| Mt 21:21-22 | Mk 11:22-25 | Lk |
|---|---|---|
| **Mt21:21** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, | **Mk11:22** καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς λέγει αὐτοῖς, Ἔχετε πίστιν θεοῦ. | |
| Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, | **Mk11:23** ἀμὴν λέγω ὑμῖν ὅτι | |
| ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, | ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀλλὰ πιστεύῃ ὅτι ὃ λαλεῖ γίνεται, | |
| γενήσεται· | ἔσται αὐτῷ. | |
| ---------- Cf. No. 128 (Mt 17:20b/Lk 17:6). | | |
| ***Mt17:20b*** *ἀμὴν γὰρ λέγω ὑμῖν,* | | |

*ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως,*
*ἐρεῖτε τῷ ὄρει τούτῳ,*
*Μετάβα ἔνθεν ἐκεῖ,*
*καὶ μεταβήσεται˙*
*καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.*

**Th48** Λέγει Ἰησοῦς˙ ἐὰν δύο εἰρηνεύσωσιν ἐν ἀλλήλοις ἐν ταύτῃ τῷ οἰκίᾳ μιᾷ, ἐροῦσιν τῷ ὄρει˙ μετάβα καὶ μεταβήσεται.
**Th106** (1) Ὅταν ποιήσητε τοὺς δύο ἕν, υἱοὶ τοῦ ἀνθρώπου γενήσεσθε. (2) καὶ ὅταν εἴπητε˙ ὄρος, μετάβα, μετάβησεται.

----------

| Matthew | Mark |
|---|---|
| **Mt21:22** καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες λήμψεσθε. | **Mk11:24** διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα προσεύχεσθε καὶ αἰτεῖσθε, πιστεύετε ὅτι ἐλάβετε, καὶ ἔσται ὑμῖν. |
| ---------- | |
| ***Mt6:14*** *Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος˙* | **Mk11:25** καὶ ὅταν στήκετε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν |
| ***Mt6:15*** *ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.* | τὰ παραπτώματα ὑμῶν. |

**Jh14:13** καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ˙
**Jh14:14** ἐάν τι αἰτήσητέ με ἐν τῷ ὀνόματί μου ἐγὼ ποιήσω.
**Jh15:7b** ... ὃ ἐὰν θέλητε αἰτήσασθε, καὶ γενήσεται ὑμῖν.
**Jh16:23** καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἄν τι αἰτήσητε τὸν πατέρα δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου .

## No. 145 *[276].* The Question about Authority / 権能問答

| Mt 21:23-27 | Mk 11:27-33 | Lk 20:1-8 |
|---|---|---|
| **Mt21:23** Καὶ | **Mk11:27** Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. καὶ ἐν τῷ ἱερῷ | **Lk20:1** Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ |
| ἐλθόντος αὐτοῦ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι | περιπατοῦντος αὐτοῦ ἔρχονται πρὸς αὐτὸν | καὶ εὐαγγελιζομένου ἐπέστησαν |
| οἱ ἀρχιερεῖς | οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς | οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς |
| καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ | καὶ οἱ πρεσβύτεροι | σὺν τοῖς πρεσβυτέροις |
| λέγοντες, | **Mk11:28** καὶ ἔλεγον αὐτῷ, | **Lk20:2** καὶ εἶπαν λέγοντες πρὸς αὐτόν, Εἰπὸν ἡμῖν |
| Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ | Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ | ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ |

| | | |
|---|---|---|
| τίς σοι ἔδωκεν | τίς σοι ἔδωκεν | τίς ἐστιν ὁ δούς σοι |
| τὴν ἐξουσίαν ταύτην; | τὴν ἐξουσίαν ταύτην | τὴν ἐξουσίαν ταύτην; |
| | ἵνα ταῦτα ποιῇς; | |

Jh2:18 ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ, Τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς;

| | | |
|---|---|---|
| Mt21:24 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς | Mk11:29 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, | Lk20:3 ἀποκριθεὶς δὲ εἶπεν πρὸς |
| εἶπεν αὐτοῖς, | | αὐτούς, |
| Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν | Ἐπερωτήσω ὑμᾶς | Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον, |
| ἐὰν εἴπητέ μοι κἀγὼ | ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι καὶ | καὶ εἴπατέ μοι· |
| ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα | ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα | |
| ποιῶ· | ποιῶ· | |
| Mt21:25 τὸ βάπτισμα τὸ Ἰωάννου | Mk11:30 τὸ βάπτισμα τὸ Ἰωάννου | Lk20:4 Τὸ βάπτισμα Ἰωάννου |
| πόθεν ἦν; ἐξ οὐρανοῦ | ἐξ οὐρανοῦ ἦν | ἐξ οὐρανοῦ ἦν |
| ἢ ἐξ ἀνθρώπων; | ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι. | ἢ ἐξ ἀνθρώπων; |
| οἱ δὲ διελογίζοντο | Mk11:31 καὶ διελογίζοντο | Lk20:5 οἱ δὲ συνελογίσαντο |
| ἐν ἑαυτοῖς λέγοντες, | πρὸς ἑαυτοὺς λέγοντες, | πρὸς ἑαυτοὺς λέγοντες ὅτι |
| Ἐὰν εἴπωμεν, | Ἐὰν εἴπωμεν, | Ἐὰν εἴπωμεν, |
| Ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν, | Ἐξ οὐρανοῦ, ἐρεῖ, | Ἐξ οὐρανοῦ, ἐρεῖ, |
| Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; | Διὰ τί [οὖν] οὐκ ἐπιστεύσατε αὐτῷ; | Διὰ τί οὐκ ἐπιστεύσατε αὐτῷ; |
| Mt21:26 ἐὰν δὲ εἴπωμεν, | Mk11:32 ἀλλὰ εἴπωμεν, | Lk20:6 ἐὰν δὲ εἴπωμεν, |
| Ἐξ ἀνθρώπων, | Ἐξ ἀνθρώπων; | Ἐξ ἀνθρώπων, |
| φοβούμεθα τὸν ὄχλον, | ἐφοβοῦντο τὸν ὄχλον· | ὁ λαὸς ἅπας καταλιθάσει ἡμᾶς, |
| | | πεπεισμένος γάρ ἐστιν |
| πάντες γὰρ ὡς προφήτην ἔχουσιν τὸν | ἅπαντες γὰρ εἶχον τὸν | Ἰωάννην προφήτην εἶναι. |
| Ἰωάννην. | Ἰωάννην ὄντως ὅτι προφήτης ἦν. | |
| Mt21:27 καὶ ἀποκριθέντες | Mk11:33 καὶ ἀποκριθέντες | Lk20:7 καὶ ἀπεκρίθησαν |
| τῷ Ἰησοῦ εἶπαν, | τῷ Ἰησοῦ λέγουσιν, | |
| Οὐκ οἴδαμεν. | Οὐκ οἴδαμεν. | μὴ εἰδέναι πόθεν. |
| | καὶ ὁ Ἰησοῦς | Lk20:8 καὶ ὁ Ἰησοῦς |
| ἔφη αὐτοῖς καὶ αὐτός, | λέγει αὐτοῖς, | εἶπεν αὐτοῖς, |
| Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ | Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ | Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ |
| ἐξουσίᾳ ταῦτα ποιῶ. | ἐξουσίᾳ ταῦτα ποιῶ. | ἐξουσίᾳ ταῦτα ποιῶ. |

## No. 146 *[278]*. The Parable of the Wicked Husbandmen / 悪しき農夫たちの譬

| Mt 21:33-46 | Mk 12:1-12 | Lk 20:9-19 |
|---|---|---|

**Mt21:33** Ἄλλην παραβολὴν ἀκούσατε.
Ἄνθρωπος ἦν οἰκοδεσπότης ὅστις
ἐφύτευσεν ἀμπελῶνα
καὶ φραγμὸν αὐτῷ περιέθηκεν
καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν
καὶ ᾠκοδόμησεν πύργον
καὶ ἐξέδετο αὐτὸν γεωργοῖς καὶ
ἀπεδήμησεν.
**Mt21:34** ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν
καρπῶν, ἀπέστειλεν τοὺς δούλους
αὐτοῦ πρὸς τοὺς γεωργοὺς
λαβεῖν τοὺς καρποὺς αὐτοῦ.
**Mt21:35** καὶ λαβόντες οἱ γεωργοὶ
τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν,
ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν.
**Mt21:36** πάλιν ἀπέστειλεν ἄλλους
δούλους πλείονας τῶν πρώτων, καὶ
ἐποίησαν αὐτοῖς ὡσαύτως.
**Mt21:37** ὕστερον δὲ
ἀπέστειλεν
πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων,
Ἐντραπήσονται τὸν υἱόν μου.
**Mt21:38** οἱ δὲ γεωργοὶ
ἰδόντες τὸν υἱὸν
εἶπον ἐν ἑαυτοῖς,
Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε
ἀποκτείνωμεν αὐτὸν καὶ
σχῶμεν τὴν κληρονομίαν αὐτοῦ,
**Mt21:39** καὶ λαβόντες αὐτὸν
ἐξέβαλον
ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν.

**Mk12:1** Καὶ ἤρξατο αὐτοῖς
ἐν παραβολαῖς λαλεῖν,
Ἀμπελῶνα ἄνθρωπος
ἐφύτευσεν
καὶ περιέθηκεν φραγμὸν
καὶ ὤρυξεν ὑπολήνιον
καὶ ᾠκοδόμησεν πύργον
καὶ ἐξέδετο αὐτὸν γεωργοῖς καὶ
ἀπεδήμησεν.
**Mk12:2** καὶ ἀπέστειλεν
πρὸς τοὺς γεωργοὺς τῷ
καιρῷ δοῦλον ἵνα παρὰ τῶν
γεωργῶν λάβῃ ἀπὸ τῶν καρπῶν
τοῦ ἀμπελῶνος·
**Mk12:3** καὶ λαβόντες αὐτὸν
ἔδειραν
καὶ ἀπέστειλαν κενόν.
**Mk12:4** καὶ πάλιν ἀπέστειλεν πρὸς
αὐτοὺς ἄλλον δοῦλον·
κἀκεῖνον ἐκεφαλίωσαν καὶ
ἠτίμασαν.
**Mk12:5** καὶ ἄλλον ἀπέστειλεν·
κἀκεῖνον ἀπέκτειναν, καὶ πολλοὺς
ἄλλους, οὓς μὲν δέροντες,
οὓς δὲ ἀποκτέννοντες.
**Mk12:6** ἔτι ἕνα εἶχεν υἱὸν
ἀγαπητόν· ἀπέστειλεν αὐτὸν
ἔσχατον πρὸς αὐτοὺς λέγων ὅτι
Ἐντραπήσονται τὸν υἱόν μου.
**Mk12:7** ἐκεῖνοι δὲ οἱ γεωργοὶ
πρὸς ἑαυτοὺς εἶπαν ὅτι
Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε
ἀποκτείνωμεν αὐτόν, καὶ ἡμῶν
ἔσται ἡ κληρονομία.
**Mk12:8** καὶ λαβόντες
ἀπέκτειναν αὐτόν
καὶ ἐξέβαλον αὐτὸν

**Lk20:9** Ἤρξατο δὲ πρὸς τὸν λαὸν
λέγειν τὴν παραβολὴν ταύτην·
Ἄνθρωπός [τις]
ἐφύτευσεν ἀμπελῶνα
καὶ ἐξέδετο αὐτὸν γεωργοῖς καὶ
ἀπεδήμησεν χρόνους ἱκανούς.
**Lk20:10** καὶ καιρῷ ἀπέστειλεν
πρὸς τοὺς γεωργοὺς
δοῦλον ἵνα
ἀπὸ τοῦ καρποῦ
τοῦ ἀμπελῶνος δώσουσιν αὐτῷ·
οἱ δὲ γεωργοὶ
ἐξαπέστειλαν αὐτὸν
δείραντες κενόν.
**Lk20:11** καὶ προσέθετο ἕτερον
πέμψαι δοῦλον·
οἱ δὲ κἀκεῖνον δείραντες καὶ
ἀτιμάσαντες
ἐξαπέστειλαν κενόν.
**Lk20:12** καὶ προσέθετο τρίτον
πέμψαι· οἱ δὲ καὶ τοῦτον
τραυματίσαντες ἐξέβαλον.
**Lk20:13** εἶπεν δὲ ὁ κύριος τοῦ
ἀμπελῶνος, Τί ποιήσω; πέμψω
τὸν υἱόν μου τὸν ἀγαπητόν·
ἴσως τοῦτον ἐντραπήσονται.
**Lk20:14** ἰδόντες δὲ αὐτὸν
οἱ γεωργοὶ διελογίζοντο
πρὸς ἀλλήλους λέγοντες,
Οὗτός ἐστιν ὁ κληρονόμος·
ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν
γένηται ἡ κληρονομία.
**Lk20:15** καὶ
ἐκβαλόντες αὐτὸν
ἔξω τοῦ ἀμπελῶνος ἀπέκτειναν.

| Matthew | Mark | Luke |
| --- | --- | --- |
| **Mt21:40** ὅταν οὖν ἔλθῃ<br>ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει<br>τοῖς γεωργοῖς ἐκείνοις;<br>**Mt21:41** λέγουσιν αὐτῷ,<br>Κακοὺς κακῶς ἀπολέσει αὐτούς καὶ<br>τὸν ἀμπελῶνα ἐκδώσεται<br>ἄλλοις γεωργοῖς,<br>οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς<br>καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. | ἔξω τοῦ ἀμπελῶνος.<br>**Mk12:9** τί [οὖν] ποιήσει<br>ὁ κύριος τοῦ ἀμπελῶνος;<br>ἐλεύσεται καὶ ἀπολέσει<br>τοὺς γεωργούς καὶ δώσει<br>τὸν ἀμπελῶνα<br>ἄλλοις. | τί οὖν ποιήσει αὐτοῖς<br>ὁ κύριος τοῦ ἀμπελῶνος;<br>**Lk20:16** ἐλεύσεται καὶ ἀπολέσει<br>τοὺς γεωργοὺς τούτους καὶ δώσει<br>τὸν ἀμπελῶνα<br>ἄλλοις.<br>ἀκούσαντες δὲ εἶπαν, Μὴ γένοιτο. |

**Th65** (1) Λέγει˙ ἄνθρωπος χρη[στὴ]ς ἀμπελῶνα εἶχεν. ἐξέδετο αὐτὸν γεωργοῖς, ἵνα ἐργάσωνται ἐν αὐτῷ καὶ λάβῃ τὸν καρπὸν αὐτοῦ ἀπ' αὐτῶν. (2) ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ, ἵνα δῶσιν οἱ γεωργοὶ αὐτῷ τὸν καρπὸν τοῦ ἀμπελῶνος. (3) κρατήσαντες τὸν δοῦλον αὐτοῦ ἔδειραν (καὶ) παρὰ μικρὸν ἀπέκτειναν αὐτόν. ὁ δοῦλος ἐλθὼν ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ. (4) ἐιπεν ὁ κύριος αὐτοῦ˙ ἴσως οὐκ ἔγν<ωσαν> αὐτ<όν>˙ (5) (καὶ) ἀπέστειλεν ἕτερον δοῦλον. οἱ γεωργοὶ ἔδειραν (καὶ) τὸν ἕτερον. (6) τότε ὁ κύριος ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ λέγων˙ ἴσως ἐντραπήσονται τὸν υἱόν μου. (7) ἐκεῖνοι (δὲ) οἱ γεωργοὶ εἰδότες, ὅτι αὐτὸς ἦν ὁ κληρονόμος τοῦ ἀμπελῶνος, συλλαβόντες ἀπέκτειναν αὐτόν. (8) ὁ ἔχων ὦτα ἀκουέτω.

| Matthew | Mark | Luke |
| --- | --- | --- |
| **Mt21:42** λέγει αὐτοῖς ὁ<br>Ἰησοῦς, Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς<br>γραφαῖς,<br>Λίθον ὃν ἀπεδοκίμασαν<br>οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη<br>εἰς κεφαλὴν γωνίας˙<br>παρὰ κυρίου ἐγένετο<br>αὕτη καὶ ἔστιν θαυμαστὴ<br>ἐν ὀφθαλμοῖς ἡμῶν;<br>**Mt21:43** διὰ τοῦτο λέγω ὑμῖν ὅτι<br>ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ<br>θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι<br>τοὺς καρποὺς αὐτῆς. | **Mk12:10** οὐδὲ<br>τὴν γραφὴν ταύτην ἀνέγνωτε,<br>Λίθον ὃν ἀπεδοκίμασαν<br>οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη<br>εἰς κεφαλὴν γωνίας˙<br>**Mk12:11** παρὰ κυρίου ἐγένετο<br>αὕτη καὶ ἔστιν θαυμαστὴ<br>ἐν ὀφθαλμοῖς ἡμῶν; | **Lk20:17** ὁ δὲ ἐμβλέψας αὐτοῖς<br>εἶπεν, Τί οὖν ἐστιν τὸ<br>γεγραμμένον τοῦτο˙<br>Λίθον ὃν ἀπεδοκίμασαν<br>οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη<br>εἰς κεφαλὴν γωνίας; |

**Th66** Λέγει Ἰησοῦς˙ δείξατέ μοι τὸν λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες. αὐτός ἐστιν ὁ λίθος ὁ ἀκρογωνιαῖος.

| Matthew | Mark | Luke |
| --- | --- | --- |
| **Mt21:44** [Καὶ ὁ πεσὼν ἐπι<br>τὸν λίθον τοῦτον συνθλασθήσεται˙<br>ἐφ' ὃν δ' ἂν πέσῃ λικμήσει αὐτόν.]<br>**Mt21:45** Καὶ ἀκούσαντες<br>οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι<br>τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι<br>περὶ αὐτῶν λέγει˙<br>**Mt21:46** καὶ ζητοῦντες αὐτὸν | **Mk12:12** Καὶ<br>ἐζήτουν αὐτὸν | **Lk20:18** πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον<br>τὸν λίθον συνθλασθήσεται˙<br>ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.<br>**Lk20:19** Καὶ<br>ἐζήτησαν οἱ γραμματεῖς καὶ οἱ |

| | | |
|---|---|---|
| κρατῆσαι | κρατῆσαι, | ἀρχιερεῖς ἐπιβαλεῖν ἐπ’ αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, |
| ἐφοβήθησαν τοὺς ὄχλους, ἐπεὶ εἰς προφήτην αὐτὸν εἶχον. | καὶ ἐφοβήθησαν τὸν ὄχλον, ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπεν. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. | καὶ ἐφοβήθησαν τὸν λαόν, ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς εἶπεν τὴν παραβολὴν ταύτην. |

**Jh7:30** Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ’ αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

## No. 147 *[280].* On Paying Tribute to Caesar / 納税問答

| Mt 22:15-22 | Mk 12:13-17 | Lk 20:20-26 |
|---|---|---|
| **Mt22:15** Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. | | |
| **Mt22:16** καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν | **Mk12:13** Καὶ ἀποστέλλουσιν πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ τῶν Ἡρῳδιανῶν ἵνα αὐτὸν ἀγρεύσωσιν λόγῳ. | **Lk20:20** Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, ὥστε παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. |
| | **Mk12:14** καὶ ἐλθόντες λέγουσιν | **Lk20:21** καὶ ἐπηρώτησαν αὐτὸν |
| λέγοντες, Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, | αὐτῷ, Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ | λέγοντες, Διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις |
| καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. | καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, | καὶ οὐ λαμβάνεις πρόσωπον, |
| | ἀλλ’ ἐπ’ ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις· | ἀλλ’ ἐπ’ ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις· |

**Jh3:2b** καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος·...

| | | |
|---|---|---|
| **Mt22:17** εἰπὲ οὖν ἡμῖν τί σοι δοκεῖ· ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; | ἔξεστιν δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; δῶμεν ἢ μὴ δῶμεν; | **Lk20:22** ἔξεστιν ἡμᾶς Καίσαρι φόρον δοῦναι ἢ οὔ; |
| **Mt22:18** γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπεν, | **Mk12:15** ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν αὐτοῖς, | **Lk20:23** κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς |

| | | |
|---|---|---|
| | | αὐτούς, |
| Τί με πειράζετε, | Τί με πειράζετε; | |
| ὑποκριταί; | | |
| Mt22:19 ἐπιδείξατέ μοι τὸ νόμισμα | φέρετέ μοι δηνάριον ἵνα ἴδω. | Lk20:24 Δείξατέ μοι δηνάριον· |
| τοῦ κήνσου. | | |
| οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. | Mk12:16 οἱ δὲ ἤνεγκαν. | |
| Mt22:20 καὶ λέγει αὐτοῖς, | καὶ λέγει αὐτοῖς, | |
| Τίνος ἡ εἰκὼν αὕτη | Τίνος ἡ εἰκὼν αὕτη | τίνος ἔχει εἰκόνα |
| καὶ ἡ ἐπιγραφή; | καὶ ἡ ἐπιγραφή; | καὶ ἐπιγραφήν; |
| Mt22:21 λέγουσιν αὐτῷ, | οἱ δὲ εἶπαν αὐτῷ, | οἱ δὲ εἶπαν, |
| Καίσαρος. | Καίσαρος. | Καίσαρος. |
| τότε | Mk12:17 ὁ δὲ Ἰησοῦς | Lk20:25 ὁ δὲ |
| λέγει αὐτοῖς, | εἶπεν αὐτοῖς, | εἶπεν πρὸς αὐτούς, |
| Ἀπόδοτε οὖν τὰ Καίσαρος | Τὰ Καίσαρος ἀπόδοτε | Τοίνυν ἀπόδοτε τὰ Καίσαρος |
| Καίσαρι | Καίσαρι | Καίσαρι |
| καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. | καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. | καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. |
| Mt22:22 καὶ | καὶ | Lk20:26 καὶ οὐκ ἴσχυσαν |
| ἀκούσαντες | | ἐπιλαβέσθαι αὐτοῦ ῥήματος |
| | | ἐναντίον τοῦ λαοῦ καὶ |
| ἐθαύμασαν, | ἐξεθαύμαζον ἐπ' αὐτῷ. | θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει |
| | ---------- | αὐτοῦ ἐσίγησαν. |
| καὶ ἀφέντες αὐτὸν ἀπῆλθαν. | *Mk12:12b καὶ ἀφέντες αὐτὸν* | |
| | *ἀπῆλθον.* | |

Th100 (1) Ἔδειξαν τῷ Ἰησοῦ χρυσίον καὶ εἶπον αὐτῷ· οἱ τοῦ Καίσαρος ἀπαιτοῦσιν ἀφ' ἡμῶν τοὺς φόρους. (2) εἶπεν αὐτοῖς· ἀπόδοτε τὰ Καίσαρος Καίσαρι. (3) ἀπόδοτε τὰ τȣ̃ θεοῦ τῷ θεῷ, (4) καὶ τὰ ἐμὰ ἀπόδοτε ἐμοί.

## No. 148 *[281]*. The Question about the Resurrection / 復活問答

| Mt 22:23-33, 46 | Mk 12:18-27 | Lk 20:27-40 |
|---|---|---|
| Mt22:23 Εν ἐκείνῃ τῇ ἡμέρᾳ | | |
| προσῆλθον αὐτῷ | Mk12:18 Καὶ ἔρχονται | Lk20:27 Προσελθόντες δέ τινες |
| Σαδδουκαῖοι, λέγοντες | Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες | τῶν Σαδδουκαίων, οἱ [ἀντι]λέγοντες |
| μὴ εἶναι ἀνάστασιν, καὶ | λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ | ἀνάστασιν μὴ εἶναι, |
| ἐπηρώτησαν αὐτὸν | ἐπηρώτων αὐτὸν | ἐπηρώτησαν αὐτὸν |
| Mt22:24 λέγοντες, | λέγοντες, | Lk20:28 λέγοντες, |

| | | |
|---|---|---|
| Διδάσκαλε, | Mk12:19 Διδάσκαλε, | Διδάσκαλε, |
| Μωϋσῆς εἶπεν, Ἐάν τις | Μωϋσῆς ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος | Μωϋσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος |
| ἀποθάνῃ μὴ ἔχων τέκνα, | ἀδελφὸς ἀποθάνῃ καὶ καταλίπῃ | ἀδελφὸς ἀποθάνῃ ἔχων |
| | γυναῖκα καὶ μὴ ἀφῇ τέκνον, ἵνα | γυναῖκα, καὶ οὗτος ἄτεκνος ᾖ, ἵνα |
| ἐπιγαμβρεύσει | λάβῃ | λάβῃ |
| ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ | ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα | ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα |
| καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ | καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ | καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ |
| αὐτοῦ. | αὐτοῦ. | αὐτοῦ. |
| Mt22:25 ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ | Mk12:20 ἑπτα ἀδελφοὶ ἦσαν· | Lk20:29 ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· |
| ἀδελφοί· καὶ ὁ πρῶτος γήμας | καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα | καὶ ὁ πρῶτος λαβὼν γυναῖκα |
| ἐτελεύτησεν, καὶ μὴ ἔχων σπέρμα | καὶ ἀποθνήσκων οὐκ ἀφῆκεν | ἀπέθανεν ἄτεκνος· |
| ἀφῆκεν τὴν γυναῖκα αὐτοῦ τῷ | σπέρμα· | |
| ἀδελφῷ αὐτοῦ· | | |
| Mt22:26 ὁμοίως καὶ ὁ δεύτερος | Mk12:21 καὶ ὁ δεύτερος ἔλαβεν | Lk20:30 καὶ ὁ δεύτερος |
| | αὐτήν καὶ ἀπέθανεν μὴ καταλιπὼν | |
| καὶ ὁ τρίτος | σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως· | Lk20:31 καὶ ὁ τρίτος ἔλαβεν |
| ἕως τῶν ἑπτά. | Mk12:22 καὶ οἱ ἑπτὰ οὐκ ἀφῆκαν | αὐτήν, ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ οὐ |
| | σπέρμα. | κατέλιπον τέκνα καὶ ἀπέθανον. |
| Mt22:27 ὕστερον δὲ πάντων | ἔσχατον πάντων | Lk20:32 ὕστερον |
| ἀπέθανεν ἡ γυνή. | καὶ ἡ γυνὴ ἀπέθανεν. | καὶ ἡ γυνὴ ἀπέθανεν. |
| Mt22:28 ἐν τῇ ἀναστάσει οὖν | Mk12:23 ἐν τῇ ἀναστάσει | Lk20:33 ἡ γυνὴ οὖν ἐν τῇ |
| | [ὅταν ἀναστῶσιν] | ἀναστάσει |
| τίνος τῶν ἑπτὰ ἔσται γυνή; | τίνος αὐτῶν ἔσται γυνή; | τίνος αὐτῶν γίνεται γυνή; |
| | οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. | οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. |
| πάντες γὰρ ἔσχον αὐτήν· | Mk12:24 ἔφη αὐτοῖς ὁ Ἰησοῦς, | Lk20:34 καὶ εἶπεν αὐτοῖς ὁ |
| Mt22:29 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς | | Ἰησοῦς, |
| εἶπεν αὐτοῖς, | | |
| Πλανᾶσθε μὴ εἰδότες | Οὐ διὰ τοῦτο πλανᾶσθε μὴ εἰδότες | |
| τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ | τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ | |
| θεοῦ· | θεοῦ; | Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσιν |
| | | καὶ γαμίσκονται, |
| | | Lk20:35 οἱ δὲ καταξιωθέντες τοῦ |
| | | αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς |
| Mt22:30 ἐν γὰρ τῇ ἀναστάσει | Mk12:25 ὅταν γὰρ ἐκ νεκρῶν | ἀναστάσεως τῆς ἐκ νεκρῶν |
| | ἀναστῶσιν | |
| οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' | οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' | οὔτε γαμοῦσιν οὔτε γαμίζονται· |
| ὡς ἄγγελοι ἐν τῷ οὐρανῷ εἰσιν. | εἰσὶν ὡς ἄγγελοι ἐν τοῖς οὐρανοῖς. | Lk20:36 οὐδὲ γὰρ ἀποθανεῖν ἔτι |
| | | δύνανται, ἰσάγγελοι γάρ εἰσιν καὶ |
| | | υἱοί εἰσιν θεοῦ τῆς ἀναστάσεως υἱοὶ |
| | | ὄντες. |

| | | |
|---|---|---|
| Mt22:31 περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος, | Mk12:26 περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγείρονται οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋσέως ἐπὶ τοῦ βάτου πῶς εἶπεν αὐτῷ ὁ θεὸς λέγων, | Lk20:37 ὅτι δὲ ἐγείρονται οἱ νεκροί, καὶ Μωϋσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει κύριον |
| Mt22:32 Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ | Ἐγὼ ὁ θεὸς Ἀβραὰμ | τὸν θεὸν Ἀβραὰμ |
| καὶ ὁ θεὸς Ἰσαὰκ | καὶ [ὁ] θεὸς Ἰσαὰκ | καὶ θεὸν Ἰσαὰκ |
| καὶ ὁ θεὸς Ἰακώβ; | καὶ [ὁ] θεὸς Ἰακώβ; | καὶ θεὸν Ἰακώβ. |
| οὐκ ἔστιν [ὁ] θεὸς νεκρῶν ἀλλὰ ζώντων. | Mk12:27 οὐκ ἔστιν θεὸς νεκρῶν ἀλλὰ ζώντων· πολὺ πλανᾶσθε. | Lk20:38 θεὸς δὲ οὐκ ἔστιν νεκρῶν ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν. |
| Mt22:33 καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. | | Lk20:39 ἀποκριθέντες δέ τινες τῶν γραμματέων εἶπαν, Διδάσκαλε, καλῶς εἶπας. |
| ---------- | ---------- | |
| *Mt22:46 καὶ οὐδεὶς ἐδύνατο ἀποκριθῆναι αὐτῷ λόγον οὐδὲ ἐτόλμησέν τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.* | *Mk12:34b καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.* | Lk:20:40 οὐκέτι γὰρ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν. |

## No. 149 *[182. 282].* The Greatest Commandment / 最大の誡め

| Mt 22:34-40 | Mk 12:28-34 | Lk 10:25-28 |
|---|---|---|
| Mt22:34 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσεν τοὺς Σαδδουκαίους συνήχθησαν ἐπὶ τὸ αὐτό, | | |
| Mt22:35 καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν [νομικὸς] | Mk12:28 Καὶ προσελθὼν εἷς τῶν γραμματέων ἀκούσας αὐτῶν συζητούντων, ἰδὼν ὅτι καλῶς ἀπεκρίθη αὐτοῖς ἐπηρώτησεν αὐτόν, | Lk:10:25 Καὶ ἰδοὺ νομικός τις ἀνέστη |
| πειράζων αὐτόν, | | ἐκπειράζων αὐτὸν λέγων, |
| Mt22:36 Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; | Ποία ἐστὶν ἐντολὴ πρώτη πάντων; | Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; |
| Mt22:37 ὁ δὲ ἔφη αὐτῷ, | Mk12:29 ἀπεκρίθη ὁ Ἰησοῦς ὅτι Πρώτη ἐστίν, Ἄκουε, Ἰσραήλ, κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστιν, Mk12:30 καὶ | Lk10:26 ὁ δὲ εἶπεν πρὸς αὐτόν, Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Lk10:27 ὁ δὲ ἀποκριθεὶς εἶπεν, |
| Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου | ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου | Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης [τῆς] καρδίας σου |

| Mt | Mk | Lk |
| --- | --- | --- |
| καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου | καὶ ἐξ ὅλης τῆς ψυχῆς σου | καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου |
| | καὶ ἐξ ὅλης τῆς διανοίας σου | καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου |
| καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· | καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. | καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου, |
| Mt22:38 αὕτη ἐστὶν ἡ μεγάλη καὶ πρώτη ἐντολή. | | |
| Mt22:39 δευτέρα δὲ ὁμοία αὐτῇ, | Mk12:31 δευτέρα αὕτη, | καὶ |
| Ἀγαπήσεις τὸν πλησίον σου | Ἀγαπήσεις τὸν πλησίον σου | τὸν πλησίον σου |
| ὡς σεαυτόν. | ὡς σεαυτόν. | ὡς σεαυτόν. |
| Mt22:40 ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται. | μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστιν. | |

**Th25** (1) Λέγει Ἰησοῦς· ἀγαπήσεις τὸν ἀδελφόν σου ὡς τὴν ψυχήν σου. (2) τηρήσεις αὐτὸν ὡς κόρην τοῦ ὀφθαλμοῦ σου.

| Mt | Mk | Lk |
| --- | --- | --- |
| | Mk12:32 καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς, Καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπες ὅτι **εἷς ἐστιν καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ**· | |
| | Mk12:33 καὶ τὸ **ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ἰσχύος** καὶ τὸ **ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν** περισσότερόν ἐστιν πάντων τῶν ὁλοκαυτωμάτων καὶ θυσιῶν. | |
| | Mk12:34 καὶ ὁ Ἰησοῦς ἰδὼν [αὐτὸν] ὅτι νουνεχῶς ἀπεκρίθη εἶπεν αὐτῷ, Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ. | Lk10:28 εἶπεν δὲ αὐτῷ, ' Ορθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ. |
| ---------- | | ---------- |
| *Mt22:46 καὶ οὐδεὶς ἐδύνατο ἀποκριθῆναι αὐτῷ λόγον οὐδὲ ἐτόλμησέν τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.* | καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. | *Lk:20:40 οὐκέτι γὰρ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν.* |

## No. 150 *[283].* Is Messiah David's Son? / メシアはダビデの子か

| Mt 22:41-46 | Mk 12:35-37 | Lk 20:41-44 |
| --- | --- | --- |
| Mt22:41 Συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς | Mk12:35 Καὶ ἀποκριθεὶς | Lk20:41 Εἶπεν δὲ πρὸς αὐτούς, |

| | | |
|---|---|---|
| ὁ Ἰησοῦς | ὁ Ἰησοῦς ἔλεγεν διδάσκων ἐν τῷ ἱερῷ, | |
| Mt22:42 λέγων, Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; λέγουσιν αὐτῷ, Τοῦ Δαυίδ. | Πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ Χριστὸς υἱὸς Δαυίδ ἐστιν; | Πῶς λέγουσιν τὸν Χριστὸν εἶναι Δαυὶδ υἱόν; |

**Jh7:42** οὐχ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυίδ καὶ ἀπὸ Βηθλέεμ τῆς κώμης ὅπου ἦν Δαυίδ ὁ Χριστὸς ἔρχεται;

| | | |
|---|---|---|
| Mt22:43 λέγει αὐτοῖς, Πῶς οὖν Δαυὶδ ἐν πνεύματι καλεῖ αὐτὸν κύριον λέγων, | Mk12:36 αὐτὸς Δαυὶδ εἶπεν ἐν τῷ πνεύματι τῷ ἁγίῳ, | Lk20:42 αὐτὸς γὰρ Δαυὶδ λέγει ἐν βίβλῳ ψαλμῶν, |
| Mt22:44 Εἶπεν κύριος<br>τῷ κυρίῳ μου˙<br>Κάθου ἐκ δεξιῶν μου,<br>ἕως ἂν θῶ τοὺς ἐχθρούς<br>σου ὑποκάτω τῶν ποδῶν σου; | Εἶπεν κύριος<br>τῷ κυρίῳ μου˙<br>Κάθου ἐκ δεξιῶν μου,<br>ἕως ἂν θῶ τοὺς ἐχθρούς<br>σου ὑποκάτω τῶν ποδῶν σου. | Εἶπεν κύριος<br>τῷ κυρίῳ μου˙<br>Κάθου ἐκ δεξιῶν μου<br>Lk20:43 ἕως ἂν θῶ τοὺς ἐχθρούς<br>σου ὑποπόδιον τῶν ποδῶν σου. |
| Mt22:45 εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν κύριον,<br>πῶς υἱὸς αὐτοῦ ἐστιν; | Mk12:37 αὐτὸς Δαυὶδ λέγει αὐτὸν κύριον,<br>καὶ πόθεν αὐτοῦ ἐστιν υἱός;<br>καὶ [ὁ] πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. | Lk20:44 Δαυὶδ οὖν κύριον αὐτὸν καλεῖ,<br>καὶ πῶς αὐτοῦ υἱός ἐστιν; |
| | ---------- | ---------- |
| Mt22:46 καὶ οὐδεὶς ἐδύνατο ἀποκριθῆναι αὐτῷ λόγον οὐδὲ ἐτόλμησέν τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι. | *Mk:12:34b* καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. | *Lk:20:40 οὐκέτι γὰρ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν.* |

(As for "Against the Scribes" (Mt 23:5-7/Mk 12:38-40/Lk 11:43; 20:45-47), cf. No. 101)

## No. 151 *[286]*. The Widow's Mite / 寡婦の賽銭

| Mt | Mk 12:41-44 | Lk 21:1-4 |
|---|---|---|
| | Mk12:41 Καὶ καθίσας κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον. καὶ πολλοὶ πλούσιοι | Lk21:1 Ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας εἰς τὸ γαζοφυλάκιον τὰ δῶρα αὐτῶν πλουσίους. |

| | | |
|---|---|---|
| | ἔβαλλον πολλά· | |
| | Mk12:42 καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ δύο, | Lk21:2 εἶδεν δέ τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ λεπτὰ δύο, |
| | ὅ ἐστιν κοδράντης. | |
| | Mk12:43 καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν αὐτοῖς, | Lk21:3 καὶ εἶπεν, |
| | Ἀμὴν λέγω ὑμῖν ὅτι | Ἀληθῶς λέγω ὑμῖν ὅτι |
| | ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων ἔβαλεν | ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων ἔβαλεν· |
| | τῶν βαλλόντων εἰς τὸ γαζοφυλάκιον· | |
| | Mk12:44 πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον, αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν ὅλον τὸν βίον αὐτῆς. | Lk21:4 πάντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς πάντα τὸν βίον ὃν εἶχεν ἔβαλεν. |

## No. 152 *[287]*. Prediction of the Destruction of the Temple / 神殿の破壊を予告する

| Mt 24:1-2 | Mk 13:1-2 | Lk 21:5-6 |
|---|---|---|
| Mt24:1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τοῦ ἱεροῦ ἐπορεύετο, καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. | Mk13:1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ, Διδάσκαλε, ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. | Lk21:5 Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασιν κεκόσμηται |
| Mt24:2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Οὐ βλέπετε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, | Mk13:2 καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; | εἶπεν, Lk21:6 Ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς |
| οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ καταλυθήσεται. | οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθῇ. | οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται. |

## No. 153 *[288]*. Sufferings before the End / 終末前の苦しみ

| Mt 24:3-8 | Mk 13:3-8 | Lk 21:7-11 |
|---|---|---|
| Mt24:3 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ Ὄρους τῶν Ἐλαιῶν | Mk13:3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ | |
| προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' | ἐπηρώτα αὐτὸν κατ' ἰδίαν | Lk21:7 Ἐπηρώτησαν δὲ αὐτὸν |

| Mt | Mk | Lk |
| --- | --- | --- |
| ἰδίαν<br>λέγοντες,<br>Εἰπὲ ἡμῖν<br>πότε ταῦτα ἔσται<br>καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας<br>καὶ συντελείας τοῦ αἰῶνος; | Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης<br>καὶ Ἀνδρέας,<br>**Mk13:4** Εἰπὸν ἡμῖν<br>πότε ταῦτα ἔσται<br>καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα<br>συντελεῖσθαι πάντα; | <br>λέγοντες,<br>Διδάσκαλε,<br>πότε οὖν ταῦτα ἔσται<br>καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα<br>γίνεσθαι; |

**Th18*** (1) The disciples said to Jesus: "Tell us how our end will be."

**Th51*** (1) His disciples said to him: "When will the <resurrection> of the dead take place, and when will the new world come?"

*(*no Greek retranslations available in Aland's Synpsis)*

| Mt | Mk | Lk |
| --- | --- | --- |
| **Mt24:4** καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς<br>εἶπεν αὐτοῖς,<br>Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· | **Mk13:5** ὁ δὲ Ἰησοῦς<br>ἤρξατο λέγειν αὐτοῖς,<br>Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· | **Lk21:8** ὁ δὲ<br>εἶπεν<br>Βλέπετε μὴ πλανηθῆτε· |
| **Mt24:5**<br>πολλοὶ γὰρ<br>ἐλεύσονται<br>ἐπὶ τῷ ὀνόματί<br>μου<br>λέγοντες, '<br>Ἐγώ εἰμι ὁ<br>Χριστός,<br>καὶ<br>πολλοὺς<br>πλανήσουσιν.<br><br>----------<br>*Mt24:11 καὶ*<br>*πολλοὶ*<br>*ψευδοπροφῆται*<br>*ἐγερθήσονται*<br>*καὶ*<br>*πλανήσουσιν*<br>*πολλούς*·<br>---------- | **Mk13:6** πολλοὶ<br>ἐλεύσονται<br>ἐπὶ τῷ ὀνόματί<br>μου<br>λέγοντες ὅτι<br>Ἐγώ εἰμι,<br>καὶ<br>πολλοὺς<br>πλανήσουσιν. | πολλοὶ γὰρ<br>ἐλεύσονται<br>ἐπὶ τῷ ὀνόματί<br>μου<br>λέγοντες,<br>Ἐγώ εἰμι,<br>καί,<br>Ὁ καιρὸς ἤγγικεν.<br>μὴ πορευθῆτε ὀπίσω αὐτῶν. |
| **Mt24:6** μελλήσετε δὲ ἀκούειν<br>πολέμους καὶ ἀκοὰς πολέμων·<br>ὁρᾶτε μὴ θροεῖσθε·<br>δεῖ γὰρ γενέσθαι,<br>ἀλλ' οὔπω ἐστὶν τὸ τέλος. | **Mk13:7** ὅταν δὲ ἀκούσητε<br>πολέμους καὶ ἀκοὰς πολέμων,<br>μὴ θροεῖσθε·<br>δεῖ γενέσθαι,<br>ἀλλ' οὔπω τὸ τέλος. | **Lk21:9** ὅταν δὲ ἀκούσητε<br>πολέμους καὶ ἀκαταστασίας,<br>μὴ πτοηθῆτε·<br>δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον,<br>ἀλλ' οὐκ εὐθέως τὸ τέλος.<br>**Lk21:10** Τότε ἔλεγεν αὐτοῖς, |
| **Mt24:7** ἐγερθήσεται γὰρ<br>ἔθνος ἐπὶ ἔθνος<br>καὶ βασιλεία ἐπὶ βασιλείαν<br>καὶ ἔσονται λιμοὶ καὶ σεισμοὶ<br>κατὰ τόπους· | **Mk13:8** ἐγερθήσεται γὰρ<br>ἔθνος ἐπ' ἔθνος<br>καὶ βασιλεία ἐπὶ βασιλείαν,<br>ἔσονται σεισμοὶ<br>κατὰ τόπους, ἔσονται λιμοί· | Ἐγερθήσεται<br>ἔθνος ἐπ' ἔθνος<br>καὶ βασιλεία ἐπὶ βασιλείαν,<br>**Lk21:11** σεισμοί τε μεγάλοι καὶ<br>κατὰ τόπους λιμοὶ καὶ λοιμοὶ<br>ἔσονται, |

| | | |
|---|---|---|
| **Mt24:8** πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. | ἀρχὴ ὠδίνων ταῦτα. | φόβητρά τε καὶ ἀπ᾽ οὐρανοῦ σημεῖα μεγάλα ἔσται. |

## No. 154 *[100. 289]*. Persecutions Foretold / 迫害の予告

| Mt 10:17-18. 21-22; | Mt 24:9-14 | Mk 13:9-10. 12-13 | Lk 21:12-13. 16-19 |
|---|---|---|---|
| **Mt10:17** προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια καὶ | **Mt24:9a** τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, ...... | **Mk13:9a** βλέπετε δὲ ὑμεῖς ἑαυτούς· ***Mk13:9b*** παραδώσουσιν ὑμᾶς εἰς συνέδρια καὶ | **Lk21:12** πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν, παραδιδόντες |
| ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· | | εἰς συναγωγὰς δαρήσεσθε | εἰς τὰς συναγωγὰς καὶ υλακάς, ἀπαγομένους |
| **Mt10:18** καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ | | καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ | ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· **Lk21:13** ἀποβήσεται ὑμῖν |
| εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. | ---------- | εἰς μαρτύριον αὐτοῖς. | εἰς μαρτύριον. |
| | **Mt24:14** καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν, καὶ τότε ἥξει τὸ τέλος. | **Mk13:10** καὶ εἰς πάντα τὰ ἔθνη πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον. | |
| ---------- | ---------- | ---------- | ---------- |

(As for "The Holy Spirit Speaks" (Mt 10:19-20 / Mk13:11 / Lk12:11-12; 21:14-15), cf. No. 106)

| | | | |
|---|---|---|---|
| **Mt10:21** παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ | | **Mk13:12** καὶ παραδώσει ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ | **Lk21:16** παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, |

| | | | |
|---|---|---|---|
| ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς.<br>**Mt10:22a** καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων<br>διὰ τὸ ὄνομά μου· | **Mt24:9b** καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν<br>διὰ τὸ ὄνομά μου. | ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς·<br>**Mk13:13a** καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων<br>διὰ τὸ ὄνομά μου. | καὶ θανατώσουσιν ἐξ ὑμῶν,<br>**Lk21:17** καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων<br>διὰ τὸ ὄνομά μου.<br>**Lk21:18** καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. |

**Jh16:2** ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ.

**Jh15:19** ...διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος.

**Jh15:21** ἀλλὰ ταῦτα πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου,...

| | | | |
|---|---|---|---|
| | ----------<br>**Mt24:10** καὶ τότε σκανδαλισθή-σονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσιν καὶ μισήσουσιν ἀλλήλους·<br>**Mt24:11** καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς· | | |
| | ----------<br>***Mt24:5*** *πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσιν.* | ----------<br>***Mk13:6*** *πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι Ἐγώ εἰμι, καὶ πολλοὺς πλανήσουσιν* | ----------<br>***Lk21:8b*** *πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, Ἐγώ εἰμι, καί, Ὁ καιρὸς ἤγγικεν. μὴ πορευθῆτε ὀπίσω αὐτῶν.* |
| | ----------<br>**Mt24:12** καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. | ---------- | |

| | | | |
|---|---|---|---|
| Mt10:22b ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. | *Mt24:13* ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. | Mk13:13b ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. | Lk21:19 ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. |
| | | ---------- | ---------- |
| | *Mt24:14* καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν, καὶ τότε ἥξει τὸ τέλος. | *Mk13:10* καὶ εἰς πάντα τὰ ἔθνη πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον. | |

## No. 155 *[290]*. The Last Tribulations / 最後の患難

| Mt 24:15-22 | Mk 13:14-20 | Lk 21:20-24 |
|---|---|---|
| Mt24:15 Ὅταν οὖν ἴδητε | Mk13:14 Ὅταν δὲ ἴδητε | Lk21:20 Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων Ἰερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. |
| τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὸς ἐν τόπῳ ἁγίῳ, | τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστηκότα ὅπου οὐ δεῖ, | |
| ὁ ἀναγινώσκων νοείτω, | ὁ ἀναγινώσκων νοείτω, | |
| Mt24:16 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, | τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, | Lk21:21 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, |
| | | ---------- |
| Mt24:17 ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, | Mk13:15 ὁ [δὲ] ἐπὶ τοῦ δώματος μὴ καταβάτω μηδὲ εἰσελθάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, | ***Lk17:31*** *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά,* |
| Mt24:18 καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. | Mk13:16 καὶ ὁ εἰς τὸν ἀγρὸν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. | *καὶ ὁ ἐν ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω.* |
| | | ---------- |
| | | Lk21:22 ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσιν τοῦ πλησθῆναι πάντα τὰ γεγραμμένα. |

| | | |
|---|---|---|
| Mt24:19 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. | Mk13:17 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. | Lk21:23 οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· |
| Mt24:20 προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ σαββάτῳ. | Mk13:18 προσεύχεσθε δὲ ἵνα μὴ γένηται χειμῶνος· | |
| Mt24:21 ἔσται γὰρ τότε θλῖψις μεγάλη οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ᾽ οὐ μὴ γένηται. | Mk13:19 ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις οἵα οὐ γέγονεν τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως ἣν ἔκτισεν ὁ θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γένηται. | ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ τῷ λαῷ τούτῳ, Lk21:24 καὶ πεσοῦνται στόματι μαχαίρης καὶ αἰχμαλωτισθήσονται εἰς τὰ ἔθνη πάντα, καὶ Ἰερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι οὗ πληρωθῶσιν καιροὶ ἐθνῶν. |
| Mt24:22 καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. | Mk13:20 καὶ εἰ μὴ ἐκολόβωσεν κύριος τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσεν τὰς ἡμέρας. | |

## No. 156 *[235a. 291].* Look Here, Look There / 此方だ、彼方だ

| Mt 24:23-28 | Mk 13:21-23 | Lk 17:20-25. 37 |
|---|---|---|
| | | Lk17:20 Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν, Οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως, Lk17:21 οὐδὲ ἐροῦσιν, |
| Mt24:23 τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστός, ἤ, Ὧδε, μὴ πιστεύσητε· | Mk13:21 καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἴδε ὧδε ὁ Χριστός, Ἴδε ἐκεῖ, μὴ πιστεύετε· | Ἰδοὺ ὧδε ἤ, Ἐκεῖ, |

**Th3** (1) λέγει Ἰησοῦς˙ ἐὰν οἱ ἡγούμενοι ἡμᾶς εἴπωσιν ὑμῖν˙ ἰδου ἡ βασιλεία ἐν τῷ οὐρανῷ ἐστιν, φθήσεται ἄρα ὑμᾶς τὰ πετεινὰ τοῦ οὐρανοῦ. (2) ἐὰν (δὲ) εἴπωσιν ὑμῖν˙ ἐν τῇ θαλάσσῃ ἐστιν, φθήσονται ἄρα ὑμᾶς οἱ ἰχθύες. (3) ἀλλὰ ἡ βασιρεία ἐντὸς ὑμῶν ἐστιν καὶ ἐκτὸς ὑμῶν. (4) ὅταν γνῶτε ἑαυτοὺς, τότε γνωσθήσεσθε καὶ εἰδησετε ὅτι ὑμεῖς ἐστε υἱοί τοῦ πατρὸς τοῦ ζῶντος. (5) ἐὰν δὲ μὴ γνῶτε ἑαυτούς, ἄρα ἐστὲ ἐν πτωχείᾳ καὶ ὑμεῖς ἐστε ἡ πτωχεία.

**Th51*** (1) His disciples said to him:" When will the 'resurrection' of the dead take place, and when will the new world come?" (2) He said to them: "That (resurrection) whichyou are awaiting has (already) come,but you do not recognise it."

*(* no Greek retranslations available in Aland's Synpsis)*

**Th113** (1) Εἶπον αὐτοῷ οἱ μαθηταὶ αὐτοῦ˙ ποίᾳ ἡμερᾳ ἔρχεται ἡ βασιλεία; (2) οὐκ ἔρχεται μετὰ ἀποκαραδοκιας. (3) οὐκ ἐροῦσιν˙ ἰδοὺ ᾧδε ἢ ἰδοὺ ἐκεῖ. (4) ἀλλὰ ἡ βασιρεία τοῦ πατρὸς ἐστρωμένη ἐστὶν ἐπὶ τῆς γῆς καὶ οἱ ἄνθρωποι οὐ βλέπουσιν αὐτήν.

**POxy 654, 9-21** λέγει Ἰ[η(σοῦ)ς˙ ἐὰν] οἱ ἕλκοντες ἡμᾶς [εἴπωσιν ὑμῖν˙ ἰδου] ἡ βασιλεία ἐν οὐρα[νῷ, ὑμᾶς φθήσεται] τὰ πετεινὰ τοῦ οὐρ[ανοῦ˙ ἐὰν δ' εἴπωσιν ὅ]τι ὑπὸ τὴν γήν ἐστ[ιν, εἰσελεύσονται] οἱ ἰχθύες τῆς θαλά[σσης προφθάσαν] τες ὑμᾶς˙ καὶ ἡ βασ[ιλεία τοῦ θεοῦ] ἐντὸς ὑμῶν [ἐσ]τι [κἀκτός. ὃς ἂν ἑαυτὸν] γνῷ, ταύτην εὑρή[σει, καὶ ὅτε ὑμεῖς] ἑαυτοὺς γνώσεσθα[ι, εἴσεσθε ὅτι υἱοί] ἐστε ὑμεῖς τοῦ πατρὸς τοῦ ζ[ῶντος˙ εἰ δὲ μὴ] γνώσ<εσ>θε ἑαυτούς, ἐν [τῇ πτωχείᾳ ἐστὲ] καὶ ὑμεῖς ἐστε ἡ πτω[χεία].

| | | |
|---|---|---|
| **Mt24:24** ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς˙<br><br>**Mt24:25** ἰδοὺ προείρηκα ὑμῖν. | **Mk13:22** ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, τοὺς ἐκλεκτούς.<br>**Mk13:23** ὑμεῖς δὲ βλέπετε˙ προείρηκα ὑμῖν πάντα. | ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν. |
| **Th38*** (1) Jesus says' "Many times you have desired to hear these words, these, that I am saying to you, and you have no one else to hear them from. (2) There will be days when you will seek me, (and) you will not find me."<br>*(* no Greek retranslations available in Aland's Synpsis)* | | **Lk17:22** Εἶπεν δὲ πρὸς τοὺς μαθητάς˙ ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν καὶ οὐκ ὄψεσθε. |
| **Mt24:26** ἐὰν οὖν εἴπωσιν ὑμῖν, Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστίν, μὴ ἐξέλθητε˙ Ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε˙<br>**Mt24:27** ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, | | **Lk17:23** καὶ ἐροῦσιν ὑμῖν˙ ἰδοὺ ἐκεῖ, [ἤ ˙] ἰδοὺ ὧδε˙ μὴ ἀπέλθητε μηδὲ διώξητε.<br>**Lk17:24** ὥσπερ γὰρ ἡ ἀστραπὴ ἀστράπτουσα ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει, |

| | | |
|---|---|---|
| οὕτως ἔσται<br>ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου˙<br><br>Mt24:28 ὅπου ἐὰν ᾖ τὸ πτῶμα,<br>ἐκεῖ συναχθήσονται οἱ ἀετοί. | | οὕτως ἔσται<br>ὁ υἱὸς τοῦ ἀνθρώπου<br>[ἐν τῇ ἡμέρᾳ αὐτοῦ].<br>Lk17:25 πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης.<br>----------<br>*Lk17:37 καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ˙ ποῦ, κύριε; ὁ δὲ εἶπεν αὐτοῖς˙ ὅπου τὸ σῶμα, ἐκεῖ καὶ οἱ ἀετοὶ ἐπισυναχθήσονται.* |

## No. 157*[235b.296b]*. As in the Days of Noah / ノアの時代の如く

| Mt 24:37-39. 17-18 | Mk13:15-16 | Lk 17:26-33 |
|---|---|---|
| Mt24:37 Ὥσπερ γὰρ<br>αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται<br>ἡ παρουσία<br>τοῦ υἱοῦ τοῦ ἀνθρώπου.<br>Mt24:38 ὡς γὰρ ἦσαν ἐν ταῖς ἡμέραις [ἐκείναις] ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ γαμίζοντες, ἄχρι ἧς ἡμέρας<br>εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν,<br>Mt24:39 καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας,<br><br>οὕτως ἔσται [καὶ] ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. | | Lk17:26 καὶ καθὼς ἐγένετο<br>ἐν ταῖς ἡμέραις Νῶε, οὕτως ἔσται<br>καὶ ἐν ταῖς ἡμέραις<br>τοῦ υἱοῦ τοῦ ἀνθρώπου˙<br>Lk17:27 ἤσθιον,<br>ἔπινον, ἐγάμουν,<br>ἐγαμίζοντο, ἄχρι ἧς ἡμέρας<br>εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτὸν<br>καὶ<br>ἦλθεν ὁ κατακλυσμὸς καὶ<br>ἀπώλεσεν πάντας.<br>Lk17:28 ὁμοίως καθὼς ἐγένετο<br>ἐν ταῖς ἡμέραις Λώτ˙<br>ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν˙<br>Lk17:29 ᾗ δὲ ἡμέρᾳ ἐξῆλθεν Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ’ οὐρανοῦ καὶ ἀπώλεσεν πάντας.<br>Lk17:30 κατὰ τὰ αὐτὰ ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται. |

| | | |
|---|---|---|
| ---------- | | |
| Cf. No. 155. | | Lk17:31 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ |
| Mt24:17 ὁ ἐπὶ τοῦ δώματος | Mk13: 15 ὁ [δὲ] ἐπὶ τοῦ δώματος | ὃς ἔσται ἐπὶ τοῦ δώματος |
| | | καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, |
| μὴ καταβάτω | μὴ καταβάτω μηδὲ εἰσελθάτω* | μὴ καταβάτω ἆραι αὐτά, |
| ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, | ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, | *Cf. Lk21:21b. |
| Mt24:18 καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ | Mk13: 16 καὶ ὁ εἰς τὸν ἀγρὸν μὴ | καὶ ὁ ἐν ἀγρῷ ὁμοίως μὴ |
| ἐπιστρεψάτω ὀπίσω | ἐπιστρεψάτω εἰς τὰ ὀπίσω | ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. |
| *ἆραι τὸ ἱμάτιον αὐτοῦ.* | ἆραι τὸ ἱμάτιον αὐτοῦ. | ---------- |
| ---------- | | ***Lk21:21b** καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν,* |
| | | ---------- |
| | | Lk17:32 μνημονεύετε τῆς γυναικὸς Λώτ. |
| | | Lk17:33 ὃς ἐὰν ζητήσῃ |
| ***Mt10:38*** *ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ* | Cf. No. 75 (Mk 8:35 par). | τὴν ψυχὴν αὐτοῦ περιποιήσασθαι |
| *ἀπολέσει αὐτήν,* | | ἀπολέσει αὐτήν, |
| *καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ* | | ὃς δ' ἂν ἀπολέσῃ |
| *ἕνεκεν ἐμοῦ* | | |
| *εὑρήσει αὐτήν.* | | ζῳογονήσει αὐτήν. |

## No. 158 *[235c.296b].* One out of the Two / 二人のうち一人は

| Mt 24:40-41. 28 | Mk | Lk 17:34-37 |
|---|---|---|
| Mt24:40 τότε | | Lk17:34 λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ |
| δύο ἔσονται ἐν τῷ ἀγρῷ, | | ἔσονται δύο ἐπὶ κλίνης μιᾶς, |
| εἷς παραλαμβάνεται | | ὁ εἷς παραλημφθήσεται |
| καὶ εἷς ἀφίεται˙ | | καὶ ὁ ἕτερος ἀφεθήσεται˙ |

Th61 (1) Λέγει Ἰησοῦς˙ δύο ἀναπαύσονται ἐπὶ κλίνης, ὁ εἷς ἀποθανεῖται, ὁ εἷς ζήσεται.

| | | |
|---|---|---|
| Mt24:41 δύο ἀλήθουσαι ἐν τῷ μύλῳ, | | Lk17:35 ἔσονται δύο ἀλήθουσαι ἐπὶ τὸ αὐτό, ἡ |
| μία παραλαμβάνεται | | μία παραλημφθήσεται, |
| καὶ μία ἀφίεται. | | ἡ δὲ ἑτέρα ἀφεθήσεται. |
| ---------- | | Lk17:37 καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ˙ |

| | | |
|---|---|---|
| Mt24:28 ὅπου ἐὰν ᾖ τὸ πτῶμα,<br>ἐκεῖ συναχθήσονται οἱ ἀετοί. | | ποῦ, κύριε; ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ σῶμα,<br>ἐκεῖ καὶ οἱ ἀετοὶ ἐπισυναχθήσονται. |

## No. 159 *[292]*. The Coming of the Son of Man / 人の子の到来

| Mt 24:29-31 | Mk 13:24-27 | Lk 21:25-28 |
|---|---|---|
| Mt24:29 Εὐθέως δὲ<br>μετὰ τὴν θλῖψιν<br>τῶν ἡμερῶν ἐκείνων<br>ὁ ἥλιος σκοτισθήσεται,<br>καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος<br>αὐτῆς,<br>καὶ οἱ ἀστέρες πεσοῦνται<br>ἀπὸ τοῦ οὐρανοῦ,<br>καὶ αἱ δυνάμεις τῶν<br>οὐρανῶν σαλευθήσονται.<br>Mt24:30 καὶ τότε φανήσεται τὸ<br>σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν<br>οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ<br>φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν<br>υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον<br>ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ<br>μετὰ δυνάμεως καὶ δόξης πολλῆς·<br>Mt24:31 καὶ ἀποστελεῖ<br>τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος<br>μεγάλης, καὶ ἐπισυνάξουσιν τοὺς<br>ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν<br>τεσσάρων ἀνέμων ἀπ᾽ ἄκρων<br>οὐρανῶν ἕως [τῶν] ἄκρων αὐτῶν. | Mk13:24 Ἀλλὰ<br>ἐν ἐκείναις ταῖς ἡμέραις<br>μετὰ τὴν θλῖψιν ἐκείνην<br>ὁ ἥλιος σκοτισθήσεται,<br>καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος<br>αὐτῆς,<br>Mk13:25 καὶ οἱ ἀστέρες ἔσονται<br>ἐκ τοῦ οὐρανοῦ πίπτοντες,<br>καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς<br>οὐρανοῖς σαλευθήσονται.<br>Mk13:26 καὶ τότε<br>ὄψονται τὸν<br>υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον<br>ἐν νεφέλαις<br>μετὰ δυνάμεως πολλῆς καὶ δόξης.<br>Mk13:27 καὶ τότε ἀποστελεῖ<br>τοὺς ἀγγέλους<br>καὶ ἐπισυνάξει τοὺς<br>ἐκλεκτοὺς [αὐτοῦ] ἐκ τῶν<br>τεσσάρων ἀνέμων ἀπ᾽ ἄκρου γῆς<br>ἕως ἄκρου οὐρανοῦ. | Lk21:25 Καὶ ἔσονται σημεῖα ἐν<br>ἡλίῳ<br>καὶ σελήνῃ<br>καὶ ἄστροις,<br>καὶ ἐπὶ τῆς γῆς συνοχὴ<br>ἐθνῶν ἐν ἀπορίᾳ ἤχους θαλάσσης<br>καὶ σάλου,<br>Lk21:26 ἀποψυχόντων ἀνθρώπων<br>ἀπὸ φόβου καὶ προσδοκίας τῶν<br>ἐπερχομένων τῇ οἰκουμένῃ,<br>αἱ γὰρ δυνάμεις τῶν<br>οὐρανῶν σαλευθήσονται.<br>Lk21:27 καὶ τότε<br>ὄψονται τὸν<br>υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον<br>ἐν νεφέλῃ<br>μετὰ δυνάμεως καὶ δόξης πολλῆς.<br>Lk21:28 ἀρχομένων δὲ τούτων<br>γίνεσθαι ἀνακύψατε καὶ ἐπάρατε τὰς<br>κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ<br>ἀπολύτρωσις ὑμῶν. |

## No. 160 *[293]*. The Time of the Coming Is Near / 接近する終末

| Mt 24:32-36 | Mk 13:28-32 | Lk 21:29-33 |
|---|---|---|
| Mt24:32 Ἀπὸ δὲ τῆς συκῆς<br>μάθετε τὴν παραβολήν·<br>ὅταν ἤδη<br>ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς<br>καὶ τὰ φύλλα ἐκφύῃ, | Mk13:28 Ἀπὸ δὲ τῆς συκῆς<br>μάθετε τὴν παραβολήν·<br>ὅταν ἤδη<br>ὁ κλάδος αὐτῆς ἁπαλὸς γένηται<br>καὶ ἐκφύῃ τὰ φύλλα, | Lk21:29 Καὶ εἶπεν<br>παραβολὴν αὐτοῖς·<br>Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ<br>δένδρα· |
| γινώσκετε ὅτι<br>ἐγγὺς τὸ θέρος· | γινώσκετε ὅτι<br>ἐγγὺς τὸ θέρος ἐστίν· | Lk21:30 ὅταν προβάλωσιν ἤδη,<br>βλέποντες<br>ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη<br>ἐγγὺς τὸ θέρος ἐστίν· |
| Mt24:33 οὕτως καὶ ὑμεῖς,<br>ὅταν ἴδητε πάντα ταῦτα,<br>γινώσκετε ὅτι ἐγγύς ἐστιν<br>ἐπὶ θύραις. | Mk13:29 οὕτως καὶ ὑμεῖς,<br>ὅταν ἴδητε ταῦτα γινόμενα,<br>γινώσκετε ὅτι ἐγγύς ἐστιν<br>ἐπὶ θύραις. | Lk21:31 οὕτως καὶ ὑμεῖς,<br>ὅταν ἴδητε ταῦτα γινόμενα,<br>γινώσκετε ὅτι ἐγγύς ἐστιν<br>ἡ βασιλεία τοῦ θεοῦ. |
| Mt24:34 ἀμὴν λέγω ὑμῖν ὅτι<br>οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη<br>ἕως ἂν πάντα ταῦτα γένηται. | Mk13:30 ἀμὴν λέγω ὑμῖν ὅτι<br>οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη<br>μέχρις οὗ ταῦτα πάντα γένηται. | Lk21:32 ἀμὴν λέγω ὑμῖν ὅτι<br>οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη<br>ἕως ἂν πάντα γένηται. |
| Mt24:35 ὁ οὐρανὸς καὶ ἡ γῆ<br>παρελεύσεται,<br>οἱ δὲ λόγοι μου<br>οὐ μὴ παρέλθωσιν. | Mk13:31 ὁ οὐρανὸς καὶ ἡ γῆ<br>παρελεύσονται,<br>οἱ δὲ λόγοι μου<br>οὐ μὴ παρελεύσονται.<br>Cf. Mt5:18/Lk16:17 (No. 126). | Lk21:33 ὁ οὐρανὸς καὶ ἡ γῆ<br>παρελεύσονται,<br>οἱ δὲ λόγοι μου<br>οὐ μὴ παρελεύσονται. |

Th11* (1) Jesus says: "This heaven will pass away, and the (heaven) above it will pass away."
Th111* (1) Jesus says: "The heavens will roll up before you, and the earth. (2) And whoever is living from the living one will not see death."

*(*no Greek retranslations available in Aland's Synopsis).*

| Mt 24:32-36 | Mk 13:28-32 | Lk 21:29-33 |
|---|---|---|
| Mt24:36 Περὶ δὲ τῆς ἡμέρας<br>ἐκείνης καὶ ὥρας<br>οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι<br>τῶν οὐρανῶν οὐδὲ ὁ υἱός,<br>εἰ μὴ ὁ πατὴρ μόνος. | Mk13:32 Περὶ δὲ τῆς ἡμέρας<br>ἐκείνης ἢ τῆς ὥρας<br>οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι<br>ἐν οὐρανῷ οὐδὲ ὁ υἱός,<br>εἰ μὴ ὁ πατήρ. | |

## No. 161 *[294. 295].* Stay Awake! / 目を覚ましておれ （Cf. No. 109）

| Mt 24:14-15, 24:42 | Mk 13:33-37 | Lk 21:36; 19:12-13; 12:37-38 |
|---|---|---|
| **Mt25:13** Γρηγορεῖτε οὖν,<br>ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν.<br>Cf. Mk13:35. | **Mk13:33** βλέπετε, ἀγρυπνεῖτε·<br>οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. | **Lk:21:36** ἀγρυπνεῖτε δὲ ἐν παντὶ καιρῷ δεόμενοι ἵνα κατισχύσητε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.<br>---------- |
| **Mt25:14** Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν | **Mk13:34** ὡς ἄνθρωπος ἀπόδημος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ | **Lk19:12** εἶπεν οὖν, Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι. |
| ἐκάλεσεν τοὺς ἰδίους δούλους |  | **Lk19:13** καλέσας δὲ δέκα δούλους ἑαυτοῦ ἔδωκεν αὐτοῖς δέκα μνᾶς |
| καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ,<br>**Mt25:15** καὶ ᾧ μὲν ἔδωκεν πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν. | καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν ἑκάστῳ τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. | καὶ εἶπεν πρὸς αὐτούς, Πραγματεύσασθε ἐν ᾧ ἔρχομαι. |
|  | Cf. No. 139. |  |
| --------- |  | --------- |
| **Mt24:42** γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ ὁ κύριος ὑμῶν ἔρχεται.<br>***Mt25:13*** Γρηγορεῖτε οὖν, Cf. Mk13:33. ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν. | **Mk13:35** γρηγορεῖτε οὖν·<br>οὐκ οἴδατε γὰρ πότε<br>ὁ κύριος τῆς οἰκίας ἔρχεται,<br>ἢ ὀψὲ ἢ μεσονύκτιον<br>ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ, | **Lk12:37** μακάριοι οἱ δοῦλοι ἐκεῖνοι,<br>οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας·<br>ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελθὼν διακονήσει αὐτοῖς. |
|  | **Mk13:36** μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας.<br>**Mk13:37** ὃ δὲ ὑμῖν λέγω πᾶσιν λέγω, γρηγορεῖτε. | **Lk:12:38** κἂν ἐν τῇ δευτέρᾳ κἂν ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν ἐκεῖνοι. |

# 4. The Passion

## No. 162 *[305]*. Jesus' Death is Premeditated / 殺害計画

| Mt 26:1-5 | Mk 14:1-2 | Lk 22:1-2 |
|---|---|---|
| **Mt26:1** Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ, | | |
| **Mt26:2** Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. | **Mk14:1** Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας. | **Lk22:1** Ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα. |
| **Mt26:3** Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα | καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς | **Lk22:2** καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς |
| **Mt26:4** καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσιν καὶ ἀποκτείνωσιν· | πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν· | τὸ πῶς ἀνέλωσιν αὐτόν, |
| **Mt26:5** ἔλεγον δέ, Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. | **Mk14:2** ἔλεγον γάρ, Μὴ ἐν τῇ ἑορτῇ, μήποτε ἔσται θόρυβος τοῦ λαοῦ. | ἐφοβοῦντο γὰρ τὸν λαόν. |

**Jh11:47** συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον καὶ ἔλεγον, Τί ποιοῦμεν ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα; **Jh11:48** ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. **Jh11:49** εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς, Ὑμεῖς οὐκ οἴδατε οὐδέν,
**Jh11:50** οὐδὲ λογίζεσθε ὅτι συμφέρει ὑμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. **Jh11:51** τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου ἐπροφήτευσεν ὅτι ἔμελλεν Ἰησοῦς ἀποθνῄσκειν ὑπὲρ τοῦ ἔθνους, **Jh11:52** καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. **Jh11:53** ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας ἐβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν.

## No. 163 *[306]*. A Woman Pours Ointment / 塗油

| Mt 26:6-13 | Mk 14:3-9 | Lk 7:36-50 |
|---|---|---|

| Mt | Mk | Lk |
|---|---|---|
| Mt26:6 Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος* τοῦ λεπροῦ, | Mk14:3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος* τοῦ λεπροῦ, *Cf. Lk7:40. | Lk7:36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη. |
| Mt26:7 προσῆλθεν αὐτῷ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου βαρυτίμου | κατακειμένου αὐτοῦ ἦλθεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς, | Lk7:37 καὶ ἰδοὺ γυνὴ ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι κατάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου |
| καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀνακειμένου. | συντρίψασα τὴν ἀλάβαστρον κατέχεεν αὐτοῦ τῆς κεφαλῆς. | Lk7:38 καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα τοῖς δάκρυσιν ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐξέμασσεν καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ μύρῳ. |

Jh12:1 Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν Ἰησοῦς. Jh12:2 ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει, ὁ δὲ Λάζαρος εἷς ἦν ἐκ τῶν ἀνακειμένων σὺν αὐτῷ. Jh12:3 ἡ οὖν Μαριὰμ λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου ἤλειψεν τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου.

| Mt | Mk | Lk |
|---|---|---|
| Mt26:8 ἰδόντες δὲ οἱ μαθηταὶ ἠγανάκτησαν λέγοντες, Εἰς τί ἡ ἀπώλεια αὕτη; | Mk14:4 ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς, Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; | Lk7:39 ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων, Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν. |
| Mt26:9 ἐδύνατο γὰρ τοῦτο πραθῆναι πολλοῦ καὶ δοθῆναι πτωχοῖς. | Mk14:5 ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι ἐπάνω δηναρίων** τριακοσίων **Cf. Lk7:41. καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ. | |
| Mt26:10 γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν ἠργάσατο εἰς ἐμέ· | Mk14:6 ὁ δὲ Ἰησοῦς εἶπεν, Ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον ἠργάσατο ἐν ἐμοί. | Lk7:40 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν, |
| Mt26:11 πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε· | Mk14:7 πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν καὶ ὅταν θέλητε δύνασθε αὐτοῖς εὖ ποιῆσαι, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. | |

Mk14:8 ὃ ἔσχεν ἐποίησεν· προέλαβεν μυρίσαι
τὸ σῶμά μου
εἰς τὸν ἐνταφιασμόν.

Mt26:12 βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν.

Mt26:13 ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο
ἐν ὅλω τῷ κόσμῳ,
λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.

Mk14:9 ἀμὴν δὲ λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον
εἰς ὅλον τὸν κόσμον,
καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.

Jh12:4 λέγει δὲ Ἰούδας ὁ Ἰσκαριώτης εἷς [ἐκ] τῶν μαθητῶν αὐτοῦ, ὁ μέλλων αὐτὸν παραδιδόναι, Jh12:5 Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς; Jh12:6 εἶπεν δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον ἔχων τὰ βαλλόμενα ἐβάσταζεν. Jh12:7 εἶπεν οὖν ὁ Ἰησοῦς, Ἄφες αὐτήν, ἵνα εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τηρήσῃ αὐτό· Jh12:8 τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

Σίμων* ,

*Cf. Mt26:6/Mk14:3.

ἔχω σοί τι εἰπεῖν. ὁ δέ, Διδάσκαλε, εἰπέ, φησίν.

Lk7:41 δύο χρεοφειλέται ἦσαν δανιστῇ τινι· ὁ εἷς ὤφειλεν δηνάρια** πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.

**Mk14:5.

Lk7:42 μὴ ἐχόντων αὐτῶν ἀποδοῦναι ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐτῶν πλεῖον ἀγαπήσει αὐτόν;

Lk7:43 ἀποκριθεὶς Σίμων εἶπεν, Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ, Ὀρθῶς ἔκρινας.

Lk7:44 καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη, Βλέπεις ταύτην τὴν γυναῖκα;
εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ μοι ἐπὶ πόδας οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς πόδας καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξεν.

Lk7:45 φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον οὐ διέλιπεν καταφιλοῦσά μου τοὺς πόδας.

Lk7:46 ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψεν τοὺς πόδας μου.

Lk7:47 οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ

| | | |
|---|---|---|
| | | ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. |
| | | **Lk7:48** εἶπεν δὲ αὐτῇ, Ἀφέωνταί σου αἱ ἁμαρτίαι. |
| | | **Lk7:49** καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς, Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν; |
| | | **Lk7:50** εἶπεν δὲ πρὸς τὴν γυναῖκα, Ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην. |

As for the parallels to Lk7:50, cf. Mk5:34 in No. 57.

## No. 164 *[307]*. The Betrayal by Judas / ユダの裏切り

| Mt 26:14-16 | Mk 14:10-11 | Lk 22:3-6 |
|---|---|---|
| | | **Lk22:3** Εἰσῆλθεν δὲ Σατανᾶς εἰς Ἰούδαν τὸν καλούμενον |
| **Mt26:14** Τότε πορευθεὶς | **Mk14:10** Καὶ Ἰούδας Ἰσκαριὼθ | Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ |
| εἷς τῶν δώδεκα, | ὁ εἷς τῶν δώδεκα | τῶν δώδεκα· |
| ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, | | **Lk22:4** καὶ ἀπελθὼν συνελάλησεν |
| | ἀπῆλθεν | |
| πρὸς τοὺς ἀρχιερεῖς | πρὸς τοὺς ἀρχιερεῖς | τοῖς ἀρχιερεῦσιν καὶ στρατηγοῖς |
| **Mt26:15** εἶπεν, Τί θέλετέ μοι | | |
| δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; | ἵνα αὐτὸν παραδοῖ αὐτοῖς. | τὸ πῶς αὐτοῖς παραδῷ αὐτόν. |
| οἱ δὲ | **Mk14:11** οἱ δὲ ἀκούσαντες | **Lk22:5** καὶ |
| ἔστησαν αὐτῷ | ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ | ἐχάρησαν καὶ συνέθεντο αὐτῷ |
| τριάκοντα ἀργύρια. | ἀργύριον δοῦναι. | ἀργύριον δοῦναι. |
| | | **Lk22:6** καὶ ἐξωμολόγησεν, |
| **Mt26:16** καὶ ἀπὸ τότε ἐζήτει | καὶ ἐζήτει πῶς αὐτὸν | καὶ ἐζήτει |
| εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ. | εὐκαίρως παραδοῖ. | εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν |
| | | ἄτερ ὄχλου αὐτοῖς. |

**Jh13:27** καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς....

**Jh6:71** ἔλεγεν δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτου· ... εἷς ἐκ τῶν δώδεκα.

**Jh13:2** ... τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἵνα παραδοῖ αὐτὸν

## No. 165*[308]*. Preparation for the Passover / 過越の準備

| Mt 26:17-20 | Mk 14:12-17 | Lk 22:7-14 |
|---|---|---|
| Mt26:17 Τῇ δὲ πρώτῃ | Mk14:12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ | Lk22:7 Ἦλθεν δὲ ἡ ἡμέρα |
| τῶν ἀζύμων | τῶν ἀζύμων, | τῶν ἀζύμων, |
| | ὅτε τὸ πάσχα ἔθυον, | [ἐν] ᾗ ἔδει θύεσθαι τὸ πάσχα· |
| | | Lk22:8 καὶ ἀπέστειλεν |
| | | Πέτρον καὶ Ἰωάννην εἰπών, |
| | | Πορευθέντες ἑτοιμάσατε ἡμῖν |
| | | τὸ πάσχα ἵνα φάγωμεν. |
| προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ | λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, | Lk22:9 οἱ δὲ εἶπαν αὐτῷ, |
| λέγοντες, | | |
| Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν | Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν | Ποῦ θέλεις ἑτοιμάσωμεν; |
| τὸ πάσχα; | ἵνα φάγῃς τὸ πάσχα; | |
| Mt26:18 ὁ δὲ εἶπεν, | Mk14:13 καὶ ἀποστέλλει δύο τῶν | Lk22:10 ὁ δὲ εἶπεν αὐτοῖς, |
| | μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς, | |
| Ὑπάγετε | Ὑπάγετε | Ἰδοὺ εἰσελθόντων ὑμῶν |
| εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα | εἰς τὴν πόλιν, | εἰς τὴν πόλιν |
| | καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος | συναντήσει ὑμῖν ἄνθρωπος |
| | κεράμιον ὕδατος βαστάζων· | κεράμιον ὕδατος βαστάζων· |
| | ἀκολουθήσατε αὐτῷ | ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν |
| | | εἰς ἣν εἰσπορεύεται, |
| καὶ | Mk14:14 καὶ ὅπου ἐὰν εἰσέλθῃ | Lk22:11 καὶ |
| εἴπατε αὐτῷ, | εἴπατε | ἐρεῖτε |
| | τῷ οἰκοδεσπότῃ ὅτι | τῷ οἰκοδεσπότῃ τῆς οἰκίας, |
| Ὁ διδάσκαλος λέγει, | Ὁ διδάσκαλος λέγει, | Λέγει σοι ὁ διδάσκαλος, |
| Ὁ καιρός μου ἐγγύς ἐστιν, | | |
| πρὸς σὲ ποιῶ | Ποῦ ἐστιν τὸ κατάλυμά μου ὅπου | Ποῦ ἐστιν τὸ κατάλυμα ὅπου |
| τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. | τὸ πάσχα μετὰ τῶν μαθητῶν μου | τὸ πάσχα μετὰ τῶν μαθητῶν μου |
| | φάγω; | φάγω; |
| | Mk14:15 καὶ αὐτὸς ὑμῖν δείξει | Lk22:12 κἀκεῖνος ὑμῖν δείξει |
| | ἀνάγαιον μέγα ἐστρωμένον ἕτοιμον· | ἀνάγαιον μέγα ἐστρωμένον· |
| | καὶ ἐκεῖ ἑτοιμάσατε ἡμῖν. | ἐκεῖ ἑτοιμάσατε. |
| Mt26:19 καὶ ἐποίησαν οἱ μαθηταὶ | Mk14:16 καὶ ἐξῆλθον οἱ μαθηταὶ | Lk22:13 ἀπελθόντες δὲ |
| | καὶ ἦλθον εἰς τὴν πόλιν | |
| ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς | καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς | εὗρον καθὼς εἰρήκει αὐτοῖς |
| καὶ ἡτοίμασαν τὸ πάσχα. | καὶ ἡτοίμασαν τὸ πάσχα. | καὶ ἡτοίμασαν τὸ πάσχα. |
| Mt26:20 Ὀψίας δὲ γενομένης | Mk14:17 Καὶ ὀψίας γενομένης | Lk22:14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα, |
| ἀνέκειτο μετὰ τῶν δώδεκα. | ἔρχεται μετὰ τῶν δώδεκα. | ἀνέπεσεν καὶ οἱ ἀπόστολοι σὺν |
| | | αὐτῷ. |

## No. 166 *[310]*. Jesus Foretells His Betrayal / 或る弟子の裏切りを予告

| Mt 26:21-25 | Mk 14:18-21 | Lk 22:21-23 |
|---|---|---|
| **Mt26:21** καὶ ἐσθιόντων αὐτῶν εἶπεν, Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. | **Mk14:18** καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων ὁ Ἰησοῦς εἶπεν, Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με ὁ ἐσθίων μετ' ἐμοῦ. | |
| **Mt26:22** καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ εἷς ἕκαστος, Μήτι ἐγώ εἰμι, κύριε; | **Mk14:19** ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς κατὰ εἷς, Μήτι ἐγώ; | |
| **Mt26:23** ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ὁ ἐμβάψας μετ' ἐμοῦ τὴν χεῖρα ἐν τῷ τρυβλίῳ οὗτός με παραδώσει. | **Mk14:20** ὁ δὲ εἶπεν αὐτοῖς, Εἷς τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρύβλιον. | **Lk22:21** πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης· |
| **Mt26:24** ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. | **Mk14:21** ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. | **Lk22:22** ὅτι ὁ υἱὸς μὲν τοῦ ἀνθρώπου κατὰ τὸ ὡρισμένον πορεύεται, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ παραδίδοται. |
| | | **Lk22:23** καὶ αὐτοὶ ἤρξαντο* συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν. *Cf. Mt26:22/Mk14:19. |
| **Mt26:25** ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπεν, Μήτι ἐγώ εἰμι, ῥαββί; λέγει αὐτῷ, Σὺ εἶπας. | | |

**Jh13:21** ...Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. **Jh13:22** ἔβλεπον εἰς ἀλλήλους οἱ μαθηταὶ ἀπορούμενοι περὶ τίνος λέγει. **Jh13:23** ἦν ἀνακείμενος εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς· **Jh13:24** νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει....... **Jh13:26** ἀποκρίνεται [ὁ] Ἰησοῦς, Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψω τὸ ψωμίον καὶ δώσω αὐτῷ. βάψας οὖν τὸ ψωμίον [λαμβάνει καὶ] δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτου. **Jh13:27** καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς, Ὃ ποιεῖς ποίησον τάχιον. ......**Jh13:30** λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος ἐξῆλθεν εὐθύς. ἦν δὲ νύξ.

# No. 167 *[311].* The Last Supper / 最後の夕食

| Mt 26:26-29 | Mk 14:22-25 | Lk 22:15-20 |
| --- | --- | --- |
| **Jh6:51** ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσει εἰς τὸν αἰῶνα, καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μού ἐστιν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.... **Jh6:53** εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. **Jh6:54** ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. **Jh6:55** ἡ γὰρ σάρξ μου ἀληθής ἐστιν βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστιν πόσις. **Jh6:56** ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. **Jh6:57** καθὼς ἀπέστειλέν με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι᾽ ἐμέ. **Jh6:58** οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβάς, οὐ καθὼς ἔφαγον οἱ πατέρες καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα. | | **Lk22:15** καὶ εἶπεν πρὸς αὐτούς, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ᾽ ὑμῶν πρὸ τοῦ με παθεῖν· **Lk22:16** λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ φάγω αὐτὸ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.* <br><br> * As for Lk22:16. 18, cf. Mt26:29/ Mk14:25 below. <br><br> **Lk22:17** καὶ δεξάμενος ποτήριον εὐχαριστήσας εἶπεν, Λάβετε τοῦτο καὶ διαμερίσατε εἰς ἑαυτούς· **Lk22:18** λέγω γὰρ ὑμῖν [ὅτι] οὐ μὴ πίω ἀπὸ τοῦ νῦν ἀπὸ τοῦ γενήματος τῆς ἀμπέλου ἕως οὗ ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ.* |
| **Mt26:26** Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογήσας ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν, Λάβετε φάγετε, τοῦτό ἐστιν τὸ σῶμά μου. | **Mk14:22** Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ἄρτον εὐλογήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν, Λάβετε, τοῦτό ἐστιν τὸ σῶμά μου. | **Lk22:19** καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέγων, Τοῦτό ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. |
| **Mt26:27** καὶ λαβὼν ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων, Πίετε ἐξ αὐτοῦ πάντες, | **Mk14:23** καὶ λαβὼν ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. | **Lk22:20** καὶ τὸ ποτήριον ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λέγων, |
| **Mt26:28** τοῦτο γάρ ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυννόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. | **Mk14:24** καὶ εἶπεν αὐτοῖς, Τοῦτό ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ ἐκχυννόμενον ὑπὲρ πολλῶν. | Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου τὸ ὑπὲρ ὑμῶν ἐκχυννόμενον. <br> --------- |

| | | |
|---|---|---|
| Mt26:29 λέγω δὲ ὑμῖν,<br>οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου<br>τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς<br>ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ'<br>ὑμῶν καινὸν<br>ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. | Mk14:25 ἀμὴν λέγω ὑμῖν ὅτι<br>οὐκέτι οὐ μὴ πίω ἐκ<br>τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς<br>ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω<br>καινὸν<br>ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. | *Lk22:18* λέγω γὰρ ὑμῖν [ὅτι] οὐ μὴ<br>πίω ἀπὸ τοῦ νῦν ἀπὸ<br>τοῦ γενήματος τῆς ἀμπέλου ἕως οὗ<br><br><br>ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ.<br>*Lk22:16* λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ<br>φάγω αὐτὸ ἕως ὅτου πληρωθῇ<br>ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. |

1Cor11:23 Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδετο ἔλαβεν ἄρτον

1Cor11:24 καὶ εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν· τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν·
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

1Cor11: 25 ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων·
τοῦτο τὸ ποτήριον **ἡ καινὴ διαθήκη** ἐστὶν ἐν τῷ ἐμῷ αἵματι·
τοῦτο ποιεῖτε, ὁσάκις ἐὰν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.

1Cor11:26 ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε ἄχρι οὗ ἔλθῃ.

**(As for "Precedence among the Disciples" (Mt 20:25-28/Mk 10:42-45/Lk 22:24-27), cf. No. 137)**

### No. 168 *[255b. 313b]*. Judging the Twelve Tribes / 十二部族を審く

| Mt 19:28 | Mk | Lk 22:28-30 |
|---|---|---|
| Mt19:28 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν<br>ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι<br><br>Cf. No. 137.<br><br>ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ<br>ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ,<br>καθήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους<br>κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. | | Lk22:28 ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ'<br>ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου·<br>Lk22:29 κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό<br>μοι ὁ πατήρ μου βασιλείαν,<br>Lk22:30 ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ τῆς<br>τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ<br>καθήσεσθε ἐπὶ θρόνων<br>τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραήλ. |

## No. 169 *[315].* The Falling Away Predicted / 躓き予告

| Mt 26:30-35 | Mk 14:26-31 | Lk 22:31-34 |
|---|---|---|
| **Mt26:30** Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. | **Mk14:26** Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. | ***Lk22:39*** *Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν, ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί.* --------- |
| **Mt26:31** Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ, γέγραπται γάρ, **Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης.** | **Mk14:27** Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι Πάντες σκανδαλισθήσεσθε, ὅτι γέγραπται, **Πατάξω τὸν ποιμένα, καὶ τὰ πρόβατα διασκορπισθήσονται.** | |
| **Mt26:32** μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. | **Mk14:28** ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. | |
| | | **Lk22:31** Σίμων Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· **Lk22:32** ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήρισον τοὺς ἀδελφούς σου. |
| **Mt26:33** ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, Εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι. | **Mk14:29** ὁ δὲ Πέτρος ἔφη αὐτῷ, Εἰ καὶ πάντες σκανδαλισθήσονται, ἀλλ’ οὐκ ἐγώ. | **Lk22:33** ὁ δὲ εἶπεν αὐτῷ, Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. |
| **Mt26:34** ἔφη αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με. | **Mk14:30** καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον ταύτῃ τῇ νυκτὶ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρίς με ἀπαρνήσῃ. | **Lk22:34** ὁ δὲ εἶπεν, Λέγω σοι, Πέτρε, οὐ φωνήσει σήμερον ἀλέκτωρ ἕως τρίς με ἀπαρνήσῃ εἰδέναι. |
| **Mt26:35** λέγει αὐτῷ ὁ Πέτρος, Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπαν. | **Mk14:31** ὁ δὲ ἐκπερισσῶς ἐλάλει, Ἐὰν δέῃ με συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον. | |

**Jh18:1** Ταῦτα εἰπὼν Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τοῦ Κεδρὼν...
**Jh16:32** ἰδοὺ ἔρχεται ὥρα καὶ ἐλήλυθεν ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια κἀμὲ μόνον ἀφῆτε˙...
**Jh13:36** Λέγει αὐτῷ Σίμων Πέτρος, Κύριε, ποῦ ὑπάγεις; ἀπεκρίθη [αὐτῷ] Ἰησοῦς, Ὅπου ὑπάγω οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσεις δὲ ὕστερον. **Jh13:37** λέγει αὐτῷ ὁ Πέτρος, Κύριε, διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. **Jh13:38** ἀποκρίνεται Ἰησοῦς, Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀρνήσῃ με τρίς.
**Jh11:16** εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμμαθηταῖς, Ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ’ αὐτοῦ.

## No. 170 *[330].* Gethsemane / ゲツセマネ

| Mt 26:36-46 | Mk 14:32-42 | Lk 22:39-46 |
|---|---|---|
| ***Mt26:30*** *Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν*. | ***Mk14:26*** *Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν*. | **Lk22:39** Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν, ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί. |
| ---------- | ---------- | |
| **Mt26:36** Τότε ἔρχεται μετ’ αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανί καὶ λέγει τοῖς μαθηταῖς, Καθίσατε αὐτοῦ ἕως [οὗ] ἀπελθὼν ἐκεῖ προσεύξωμαι. | **Mk14:32** Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανί καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, Καθίσατε ὧδε ἕως προσεύξωμαι. | **Lk22:40** γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς, Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. |
| **Mt26:37** καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. **Mt26:38** τότε λέγει αὐτοῖς, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου˙ μείνατε ὧδε καὶ γρηγορεῖτε μετ’ ἐμοῦ. | **Mk14:33** καὶ παραλαμβάνει τὸν Πέτρον καὶ [τὸν] Ἰάκωβον καὶ [τὸν] Ἰωάννην μετ’ αὐτοῦ καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν **Mk14:34** καὶ λέγει αὐτοῖς, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου˙ μείνατε ὧδε καὶ γρηγορεῖτε. | **Jh12:27** Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης; ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. |
| **Mt26:39** καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων, Πάτερ μου, εἰ δυνατόν ἐστιν, παρελθάτω | **Mk14:35** καὶ προελθὼν μικρὸν ἔπιπτεν ἐπὶ τῆς γῆς καὶ προσηύχετο ἵνα εἰ δυνατόν ἐστιν παρέλθῃ ἀπ’ αὐτοῦ ἡ ὥρα, **Mk14:36** καὶ ἔλεγεν, Αββα ὁ | **Lk22:41** καὶ αὐτὸς ἀπεσπάσθη ἀπ’ αὐτῶν ὡσεὶ λίθου βολὴν καὶ θεὶς τὰ γόνατα προσηύχετο **Lk22:42** λέγων, Πάτερ, εἰ βούλει |

| | | |
|---|---|---|
| | πατήρ, πάντα δυνατά σοι· παρένεγκε | παρένεγκε |
| ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο· | τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ· | τοῦτο τὸ ποτήριον ἀπ᾽ ἐμοῦ· |
| πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ᾽ ὡς σύ. | ἀλλ᾽ οὐ τί ἐγὼ θέλω ἀλλὰ τί σύ. | πλὴν μὴ τὸ θέλημά μου ἀλλὰ τὸ σὸν γινέσθω. |
| **Jh18:11** … τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ πατὴρ οὐ μὴ πίω αὐτό; | | **Lk22:43** [[ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ᾽ οὐρανοῦ ἐνισχύων αὐτόν. **Lk22:44** καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· καὶ ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντος ἐπὶ τὴν γῆν.]] |
| **Mt26:40** καὶ | **Mk14:37** καὶ | **Lk22:45** καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς |
| ἔρχεται πρὸς τοὺς μαθητὰς | ἔρχεται | ἐλθὼν πρὸς τοὺς μαθητὰς |
| καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, | καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, | εὗρεν κοιμωμένους αὐτοὺς ἀπὸ τῆς λύπης, |
| καὶ λέγει τῷ Πέτρῳ, | καὶ λέγει τῷ Πέτρῳ, | **Lk22:46** καὶ εἶπεν αὐτοῖς, |
| Οὕτως οὐκ ἰσχύσατε | Σίμων, καθεύδεις; οὐκ ἴσχυσας | Τί καθεύδετε; |
| μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ; | μίαν ὥραν γρηγορῆσαι; | |
| **Mt26:41** γρηγορεῖτε καὶ | **Mk14:38** γρηγορεῖτε καὶ | ἀναστάντες |
| προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· | προσεύχεσθε, ἵνα μὴ ἔλθητε εἰς πειρασμόν· | προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. |
| τὸ μὲν πνεῦμα πρόθυμον | τὸ μὲν πνεῦμα πρόθυμον | |
| ἡ δὲ σὰρξ ἀσθενής. | ἡ δὲ σὰρξ ἀσθενής. | |
| **Mt26:42** πάλιν ἐκ δευτέρου | **Mk14:39** καὶ πάλιν | |
| ἀπελθὼν προσηύξατο λέγων, | ἀπελθὼν προσηύξατο | |
| Πάτερ μου, εἰ οὐ δύναται τοῦτο παρελθεῖν ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. | τὸν αὐτὸν λόγον εἰπών.* <br> * Cf. Mt 26:44. | |
| **Mt26:43** καὶ ἐλθὼν πάλιν εὗρεν | **Mk14:40** καὶ πάλιν ἐλθὼν εὗρεν | |
| αὐτοὺς καθεύδοντας, | αὐτοὺς καθεύδοντας, | |
| ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. | ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ καταβαρυνόμενοι, | |
| | καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν αὐτῷ. | |
| **Mt26:44** καὶ ἀφεὶς αὐτοὺς πάλιν ἀπελθὼν προσηύξατο ἐκ τρίτου | **Mk14:41** καὶ ἔρχεται τὸ τρίτον | |
| τὸν αὐτὸν λόγον εἰπὼν** πάλιν. | ** Cf. Mk14:39. | |
| **Mt26:45** τότε ἔρχεται πρὸς τοὺς μαθητὰς | | |
| καὶ λέγει αὐτοῖς, | καὶ λέγει αὐτοῖς, | |

| | | |
|---|---|---|
| Καθεύδετε [τὸ] λοιπὸν καὶ ἀναπαύεσθε˙<br>ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ<br>ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται<br>εἰς χεῖρας ἁμαρτωλῶν.<br>**Mt26:46** ἐγείρεσθε ἄγωμεν˙<br>ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. | Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε˙ ἀπέχει˙<br>ἦλθεν ἡ ὥρα, ἰδοὺ<br>παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου<br>εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν.<br>**Mk14:42** ἐγείρεσθε ἄγωμεν˙<br>ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν. | **Jh14:31b** ...<br>Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. |

## No. 171 *[331]*. Jesus Arrested / 逮捕

| Mt 26:47-56 | Mk 14:43-52 | Lk 22:47-53 |
|---|---|---|
| **Mt26:47** Καὶ<br>ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ<br>Ἰούδας εἷς τῶν δώδεκα ἦλθεν<br>καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς<br><br>μετὰ μαχαιρῶν καὶ ξύλων<br>ἀπὸ τῶν ἀρχιερέων<br>καὶ<br>πρεσβυτέρων τοῦ λαοῦ. | **Mk14:43** Καὶ εὐθὺς<br>ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται<br>Ἰούδας εἷς τῶν δώδεκα<br>καὶ μετ᾽ αὐτοῦ ὄχλος<br><br>μετὰ μαχαιρῶν καὶ ξύλων<br>παρὰ τῶν ἀρχιερέων<br>καὶ τῶν γραμματέων<br>καὶ τῶν πρεσβυτέρων. | **Lk22:47**<br>Ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ<br>ὄχλος, καὶ ὁ λεγόμενος<br>Ἰούδας εἷς τῶν δώδεκα προήρχετο<br>αὐτούς |

**Jh18:1** Ταῦτα εἰπὼν Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τοῦ Κεδρὼν ὅπου ἦν κῆπος, εἰς ο.ν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. **Jh18:2** Ἤιδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. **Jh18:3** ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ ἐκ τῶν Φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. **Jh18:4** Ιησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽ αὐτὸν ἐξῆλθεν καὶ λέγει αὐτοῖς, Τίνα ζητεῖτε; **Jh18:5** ἀπεκρίθησαν αὐτῷ, Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς, Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ᾽ αὐτῶν. τὰ ὀπίσω καὶ ἔπεσαν χαμαί. **Jh18:6** ὡς οὖν εἶπεν αὐτοῖς˙ ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσαν χαμαί. **Jh18:7** πάλιν οὖν ἐπηρώτησεν αὐτούς, Τίνα ζητεῖτε; οἱ δὲ εἶπαν, Ἰησοῦν τὸν Ναζωραῖον. **Jh18:8** ἀπεκρίθη Ἰησοῦς, Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι˙ εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν˙ **Jh18:9** ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι Οὓς δέδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

| | | |
|---|---|---|
| **Mt26:48** ὁ δὲ<br>παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς<br>σημεῖον λέγων, | **Mk14:44** δεδώκει δὲ ὁ<br>παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς<br>λέγων, | |

| | | |
|---|---|---|
| Ὃν ἂν φιλήσω αὐτός ἐστιν, κρατήσατε αὐτόν. | Ὃν ἂν φιλήσω αὐτός ἐστιν, κρατήσατε αὐτὸν καὶ ἀπάγετε ἀσφαλῶς. | |
| **Mt26:49** καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν, Χαῖρε, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. | **Mk14:45** καὶ ἐλθὼν εὐθὺς προσελθὼν αὐτῷ λέγει, Ῥαββί, καὶ κατεφίλησεν αὐτόν· | καὶ ἤγγισεν τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. |
| **Mt26:50** ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἑταῖρε, ἐφ’ ὃ πάρει. | | **Lk22:48** Ἰησοῦς δὲ εἶπεν αὐτῷ, Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; |
| τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. | **Mk14:46** οἱ δὲ ἐπέβαλον τὰς χεῖρας αὐτῷ καὶ ἐκράτησαν αὐτόν. | |
| | | **Lk22:49** ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπαν, Κύριε, εἰ πατάξομεν ἐν μαχαίρῃ; |
| **Mt26:51** καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. | **Mk14:47** εἷς δέ [τις] τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτάριον. | **Lk22:50** καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τοῦ ἀρχιερέως τὸν δοῦλον καὶ ἀφεῖλεν τὸ οὖς αὐτοῦ τὸ δεξιόν. |
| **Mt26:52** τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρῃ ἀπολοῦνται. | | **Lk22:51** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Ἐᾶτε ἕως τούτου· καὶ ἁψάμενος τοῦ ὠτίου ἰάσατο αὐτόν. |
| **Mt26:53** ἢ δοκεῖς ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι ἄρτι πλείω δώδεκα λεγιῶνας ἀγγέλων; | | |
| **Mt26:54** πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι; | | |
| **Mt26:55** Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις, | **Mk14:48** καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, | **Lk22:52** εἶπεν δὲ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ’ αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους, |
| Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; | Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; | Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων; |
| καθ’ ἡμέραν | **Mk14:49** καθ’ ἡμέραν ἤμην πρὸς | **Lk22:53** καθ’ ἡμέραν ὄντος μου |

| | | |
|---|---|---|
| ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων καὶ οὐκ ἐκρατήσατέ με. | ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ’ | μεθ’ ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ’ ἐμέ, ἀλλ’ αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους. |
| **Mt26:56** τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. | ἵνα πληρωθῶσιν αἱ γραφαί. | |
| Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον. | **Mk14:50** καὶ ἀφέντες αὐτὸν ἔφυγον πάντες. | |
| | **Mk14:51** Καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν· **Mk14:52** ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν. | |

**Jh18:10** Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτάριον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. **Jh18:11** εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· βάλε τὴν μάχαιραν εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ πατὴρ οὐ μὴ πίω αὐτό; **Jh18:12** Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν **Jh18:13** καὶ ἤγαγον πρὸς Ἅνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου· **Jh18:14** ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ.......

**Jh18:20** ἀπεκρίθη αὐτῷ Ἰησοῦς, Ἐγὼ παρρησίᾳ λελάληκα τῷ κόσμῳ, ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.

## No. 172 *[332a].* Jesus before the Authority of Judaea / ユダヤ当局による裁き

| Mt 26:57-66 | Mk 14:53-64 | Lk 22:54-55. 66-71 |
|---|---|---|
| **Mt26:57** Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, | **Mk14:53** Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα, καὶ | **Lk22:54** Συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως· |
| ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. | συνέρχονται πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. | |
| **Mt26:58** ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως | **Mk14:54** καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως | ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. **Lk22:55** περιαψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς |
| καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν | καὶ ἦν συγκαθήμενος μετὰ τῶν | καὶ συγκαθισάντων ἐκάθητο ὁ |

| Mt | Mk | Lk |
|---|---|---|
| ὑπηρετῶν ἰδεῖν τὸ τέλος. | ὑπηρετῶν<br>καὶ θερμαινόμενος πρὸς τὸ φῶς | Πέτρος μέσος αὐτῶν. |

**Jh18:15** Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ καὶ συνεισῆλθεν τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, ……

| Mt | Mk | Lk |
|---|---|---|
| ----------<br>***Mt27:1a*** *Πρωΐας δὲ γενομένης*<br>*συμβούλιον ἔλαβον πάντες*<br>*οἱ ἀρχιερεῖς*<br>*καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ* ……. | ----------<br>***Mk15:1a*** *Καὶ εὐθὺς πρωῒ*<br>*συμβούλιον ποιήσαντες*<br>*οἱ ἀρχιερεῖς*<br>*μετὰ τῶν πρεσβυτέρων*<br>*καὶ γραμματέων*<br>*καὶ ὅλον τὸ συνέδριον*,……. | ----------<br>**Lk22:66** Καὶ ὡς ἐγένετο ἡμέρα,<br>συνήχθη<br>τὸ πρεσβυτέριοντοῦ λαοῦ,<br>ἀρχιερεῖς<br>τε καὶ γραμματεῖς, καὶ ἀπήγαγον<br>αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν |
| ----------<br>**Mt26:59** οἱ δὲ ἀρχιερεῖς καὶ<br>τὸ συνέδριον ὅλον ἐζήτουν<br>ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ<br>ὅπως αὐτὸν θανατώσωσιν,<br>**Mt26:60** καὶ οὐχ εὗρον πολλῶν<br>προσελθόντων ψευδομαρτύρων. | ----------<br>**Mk14:55** οἱ δὲ ἀρχιερεῖς καὶ<br>ὅλον τὸ συνέδριον ἐζήτουν<br>κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν<br>εἰς τὸ θανατῶσαι αὐτόν,<br>καὶ οὐχ ηὕρισκον·<br>**Mk14:56** πολλοὶ γὰρ<br>ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ, καὶ<br>ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. | |
| ὕστερον δὲ προσελθόντες δύο<br><br>**Mt26:61** εἶπαν,<br><br>Οὗτος ἔφη,<br>Δύναμαι<br>καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ<br>καὶ διὰ τριῶν ἡμερῶν<br>οἰκοδομῆσαι. | **Mk14:57** καί τινες ἀναστάντες<br>ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ<br>λέγοντες<br>**Mk14:58** ὅτι Ἡμεῖς ἠκούσαμεν<br>αὐτοῦ λέγοντος ὅτι<br>Ἐγὼ<br>καταλύσω τὸν ναὸν τοῦτον τὸν<br>χειροποίητον καὶ διὰ τριῶν ἡμερῶν<br>ἄλλον ἀχειροποίητον οἰκοδομήσω. | **Acts6:14** ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. |

**Th71** Λέγει Ἰησοῦς· καταλύσω [τοῦτον τὸν] οἶκον καὶ οὐδεὶς δυνήσεται [πάλιν] οἰκοδομῆσαι αὐτόν.

| Mt | Mk | Lk |
|---|---|---|
| | **Mk14:59** καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ<br>μαρτυρία αὐτῶν. | |
| **Mt26:62** καὶ ἀναστὰς ὁ ἀρχιερεὺς<br><br>εἶπεν αὐτῷ, Οὐδὲν ἀποκρίνῃ τί<br>οὗτοί σου καταμαρτυροῦσιν;<br>**Mt26:63** ὁ δὲ Ἰησοῦς ἐσιώπα. | **Mk14:60** καὶ ἀναστὰς ὁ ἀρχιερεὺς<br>εἰς μέσον ἐπηρώτησεν τὸν Ἰησοῦν<br>λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν τί<br>οὗτοί σου καταμαρτυροῦσιν;<br>**Mk14:61** ὁ δὲ ἐσιώπα | |

| | | |
|---|---|---|
| | καὶ οὐκ ἀπεκρίνατο οὐδέν. | |
| καὶ ὁ ἀρχιερεὺς | πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν | |
| εἶπεν αὐτῷ, | καὶ λέγει αὐτῷ, | Lk22:67 λέγοντες, |
| Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ | | |
| ζῶντος ἵνα ἡμῖν εἴπῃς | | |
| εἰ σὺ εἶ ὁ Χριστὸς | Σὺ εἶ ὁ Χριστὸς | Εἰ σὺ εἶ ὁ Χριστός, |
| ὁ υἱὸς τοῦ θεοῦ. | ὁ υἱὸς τοῦ εὐλογητοῦ; | εἰπὸν ἡμῖν. |
| Mt26:64 λέγει αὐτῷ ὁ Ἰησοῦς, | Mk14:62 ὁ δὲ Ἰησοῦς εἶπεν, | εἶπεν δὲ αὐτοῖς, |
| Σὺ εἶπας· | Ἐγώ εἰμι*, *Cf. Lk22:70. | Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· |
| | | Lk22:68 ἐὰν δὲ ἐρωτήσω, |
| πλὴν λέγω ὑμῖν, | | οὐ μὴ ἀποκριθῆτε. |
| ἀπ’ ἄρτι ὄψεσθε | καὶ ὄψεσθε | Lk22:69 ἀπὸ τοῦ νῦν δὲ ἔσται |
| τὸν υἱὸν τοῦ ἀνθρώπου | τὸν υἱὸν τοῦ ἀνθρώπου | ὁ υἱὸς τοῦ ἀνθρώπου |
| καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως | ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως | καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως |
| καὶ ἐρχόμενον | καὶ ἐρχόμενον | τοῦ θεοῦ. |
| ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. | μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. | |
| | | Lk22:70 εἶπαν δὲ πάντες, |
| | | Σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; |
| | | ὁ δὲ πρὸς αὐτοὺς ἔφη, |
| | | Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι**. |
| Mt26:65 τότε ὁ ἀρχιερεὺς | Mk14:63 ὁ δὲ ἀρχιερεὺς | Lk22:71 οἱ δὲ εἶπαν, **Cf. Mk14:62. |
| διέρρηξεν τὰ ἱμάτια αὐτοῦ | διαρρήξας τοὺς χιτῶνας αὐτοῦ | |
| λέγων, | λέγει, | |
| Ἐβλασφήμησεν· | | |
| τί ἔτι χρείαν ἔχομεν μαρτύρων; | Τί ἔτι χρείαν ἔχομεν | Τί ἔτι ἔχομεν |
| ἴδε νῦν ἠκούσατε | μαρτύρων; | μαρτυρίας χρείαν; |
| τὴν βλασφημίαν· | Mk14:64 ἠκούσατε | αὐτοὶ γὰρ ἠκούσαμεν |
| Mt26:66 τί ὑμῖν δοκεῖ; | τῆς βλασφημίας· | ἀπὸ τοῦ στόματος αὐτοῦ. |
| οἱ δὲ ἀποκριθέντες εἶπαν, | τί ὑμῖν φαίνεται; | |
| Ἔνοχος θανάτου ἐστίν. | οἱ δὲ πάντες κατέκριναν αὐτὸν | |
| | ἔνοχον εἶναι θανάτου. | |

**Jh10:24** ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. **Jh10:25** ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· εἶπον ὑμῖν καὶ οὐ πιστεύετε· τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ·

**Jh18:19** Ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. **Jh18:20** ἀπεκρίθη αὐτῷ Ἰησοῦς· ἐγὼ παρρησίᾳ λελάληκα τῷ κόσμῳ, ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. **Jh18:21** τί με ἐρωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.

## No. 173 *[332b]* Jesus Outraged / イエスへの暴行

| Mt 26:67-68 | Mk 14:65 | Lk 22:63-65 |
|---|---|---|
| Mt26:67 Τότε ἐνέπτυσαν | Mk14:65 Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ | Lk22:63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες αὐτὸν ἐνέπαιζον αὐτῷ δέροντες, |
| εἰς | καὶ περικαλύπτειν | Lk22:64 καὶ περικαλύψαντες |
| τὸ πρόσωπον αὐτοῦ | αὐτοῦ τὸ πρόσωπον | |
| καὶ ἐκολάφισαν αὐτόν, | καὶ κολαφίζειν αὐτὸν | αὐτὸν |
| οἱ δὲ ἐράπισαν | | |
| Mt26:68 λέγοντες, | καὶ λέγειν αὐτῷ, | ἐπηρώτων λέγοντες, |
| Προφήτευσον ἡμῖν, Χριστέ, | Προφήτευσον, | Προφήτευσον, |
| τίς ἐστιν ὁ παίσας σε; | | τίς ἐστιν ὁ παίσας σε; |
| | καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔλαβον. | Lk22:65 καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν. |

Jh18:22 ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς παρεστηκὼς τῶν ὑπηρετῶν ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ εἰπών, Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Jh18:23 ἀπεκρίθη αὐτῷ Ἰησοῦς, Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

## No. 174 *[333].* Peter's Denial / ペトロの否み

| Mt 26:69-75 | Mk 14:66-72 | Lk 22:56-62 |
|---|---|---|
| *Mt26:58 ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως* | *Mk14:54 καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως* | *Lk22:54b ……ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν.* |
| | | *Lk22:55 περιαψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς* |
| *καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος.* | *καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν* | *καὶ συγκαθισάντων ἐκάθητο ὁ Πέτρος μέσος αὐτῶν.* |
| | *καὶ θερμαινόμενος πρὸς τὸ φῶς* | |
| --------- | --------- | --------- |
| *first denial* | | |
| Mt26:69 Ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ | Mk14:66 Καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται | |
| μία παιδίσκη | μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως | Lk22:56 ἰδοῦσα δὲ αὐτὸν παιδίσκη |

| | | |
|---|---|---|
| λέγουσα, Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. | **Mk14:67** καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον ἐμβλέψασα αὐτῷ λέγει, Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ ἦσθα τοῦ Ἰησοῦ. | τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν, Καὶ οὗτος σὺν αὐτῷ ἦν· |
| **Mt26:70** ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων, Οὐκ οἶδα τί λέγεις. | **Mk14:68** ὁ δὲ ἠρνήσατο λέγων, Οὔτε οἶδα οὔτε ἐπίσταμαι σὺ τί λέγεις. | **Lk22:57** ὁ δὲ ἠρνήσατο λέγων, Οὐκ οἶδα αὐτόν, γύναι. |

*second denial*

| | | |
|---|---|---|
| **Mt26:71** ἐξελθόντα δὲ εἰς τὸν πυλῶνα | καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον [καὶ ἀλέκτωρ ἐφώνησεν]. | |
| | **Mk14:69** καὶ ἡ παιδίσκη | **Lk22:58** καὶ μετὰ βραχὺ |
| εἶδεν αὐτὸν ἄλλη | ἰδοῦσα αὐτὸν | ἕτερος ἰδὼν αὐτὸν |
| καὶ λέγει | ἤρξατο πάλιν λέγειν | ἔφη, |
| τοῖς ἐκεῖ, | τοῖς παρεστῶσιν ὅτι | |
| Οὗτος ἦν μετὰ* Ἰησοῦ τοῦ Ναζωραίου. *Cf. Lk22:59. | Οὗτος ἐξ αὐτῶν ἐστιν. | Καὶ σὺ ** ἐξ αὐτῶνεἶ. **Cf. Mt26:73. |
| **Mt26:72** καὶ πάλιν ἠρνήσατο μετὰ ὅρκου ὅτι | **Mk14:70** ὁ δὲ πάλιν ἠρνεῖτο. | ὁ δὲ Πέτρος ἔφη, |
| Οὐκ οἶδα τὸν ἄνθρωπον. | | Ἄνθρωπε, οὐκ εἰμί. |

*third denial*

| | | |
|---|---|---|
| **Mt26:73** μετὰ μικρὸν δὲ προσελθόντες | καὶ μετὰ μικρὸν πάλιν | **Lk22:59** καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊσχυρίζετο λέγων, |
| οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ, | οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, | |
| Ἀληθῶς καὶ σὺ * *Cf.Lk22:58. | Ἀληθῶς | Ἐπ' ἀληθείας καὶ οὗτος |
| ἐξ αὐτῶν εἶ, | ἐξ αὐτῶν εἶ, | μετ' αὐτοῦ ἦν,** **Cf.Mt26:71. |
| καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. | καὶ γὰρ Γαλιλαῖος εἶ. | καὶ γὰρ Γαλιλαῖός ἐστιν. |
| **Mt26:74** τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι | **Mk14:71** ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι | **Lk22:60** εἶπεν δὲ ὁ Πέτρος, |
| Οὐκ οἶδα τὸν ἄνθρωπον. | Οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. | Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. |
| καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. | **Mk14:72** καὶ εὐθὺς ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησεν. | καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ ἐφώνησεν ἀλέκτωρ. |
| | | **Lk22:61** καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψεν τῷ Πέτρῳ, |
| **Mt26:75** καὶ ἐμνήσθη ὁ Πέτρος | καὶ ἀνεμνήσθη ὁ Πέτρος | καὶ ὑπεμνήσθη ὁ Πέτρος |

| | | |
|---|---|---|
| τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς. | τὸ ῥῆμα ὡς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι δὶς τρίς με ἀπαρνήσῃ· καὶ ἐπιβαλὼν ἔκλαιεν. | τοῦ ῥήματος τοῦ κυρίου ὡς εἶπεν αὐτῷ ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι σήμερον ἀπαρνήσῃ με τρίς. **Lk22:62** καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς. |

**Jh18:16** ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὁ γνωστὸς τοῦ ἀρχιερέως καὶ εἶπεν τῇ θυρωρῷ καὶ εἰσήγαγεν τὸν Πέτρον. **Jh18:17** λέγει οὖν τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός, Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος, Οὐκ εἰμί. **Jh18:18** εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ καὶ ὁ Πέτρος μετ' αὐτῶν ἑστὼς καὶ θερμαινόμενος. ......
**Jh18:25** Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. εἶπον οὖν αὐτῷ, Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο ἐκεῖνος καὶ εἶπεν, Οὐκ εἰμί. **Jh18:26** λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψεν Πέτρος τὸ ὠτίον, Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; **Jh18:27** πάλιν οὖν ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.

## No. 175 *[334]*. Delivered to Pilate / ピラトゥスへの引き渡し

| Mt 27:1-2 | Mk 15:1 | Lk 22:66; 23:1 |
|---|---|---|
| **Mt27:1** Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ | **Mk15:1** Καὶ εὐθὺς πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ συνέδριον, | **Lk22:66** Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν |
| κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· | δήσαντες τὸν Ἰησοῦν | ---------- |
| **Mt27:2** καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν Πιλάτῳ τῷ ἡγεμόνι. | ἀπήνεγκαν καὶ παρέδωκαν Πιλάτῳ. | **Lk23:1** Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλᾶτον. |

**Jh18:28** Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν ἀλλὰ φάγωσιν τὸ πάσχα.

## (Appendix *[335]*. The Death of Judas / 付録・ユダの死)

| Mt 27:3-10 | Mk | Acts 1:16-20 |
|---|---|---|
| **Mt27:3** Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἔστρεψεν τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ πρεσβυτέροις | | **Acts1:16** ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ἣν προεῖπεν τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν, |
| **Mt27:4** λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπαν· τί πρὸς ἡμᾶς; σὺ ὄψῃ. | | **Acts1:17** ὅτι κατηριθμημένος ἦν ἐν ἡμῖν καὶ ἔλαχεν τὸν κλῆρον τῆς διακονίας ταύτης. |
| **Mt27:5** καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησεν, καὶ ἀπελθὼν ἀπήγξατο. | | **Acts1:18** οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας καὶ πρηνὴς γενόμενος ἐλάκησεν μέσος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ· |
| **Mt27:6** Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπαν· οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν. | | |
| **Mt27:7** συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. | | **Acts1:19** καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἁκελδαμάχ, τοῦτ᾽ ἔστιν χωρίον αἵματος. |
| **Mt27:8** διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. | | |
| **Mt27:9** τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος· **καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο** ἀπὸ υἱῶν Ἰσραήλ, | | **Acts1:20** γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· **γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ**, καί · **τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.** |
| **Mt27:10** καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, **καθὰ συνέταξέν μοι κύριος.** | | |

## No. 176 *[336. 338]*. Pilate Questions Jesus / ピラトゥスの尋問

| Mt 27:11-14 | Mk 15:2-5 | Lk 23:2-5. 9-10. 13-16 |
|---|---|---|
| | | **Lk23:2** ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες, Τοῦτον εὕραμεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν καὶ κωλύοντα φόρους Καίσαρι διδόναι καὶ λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. |
| **Mt27:11** Ὁ δὲ Ἰησοῦς ἐστάθη ἔμπροσθεν τοῦ ἡγεμόνος· | | |

καὶ ἐπηρώτησεν αὐτὸν
ὁ ἡγεμὼν λέγων,
Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;
ὁ δὲ Ἰησοῦς ἔφη,
Σὺ λέγεις.

Mt27:12 καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο.
Mt27:13 τότε λέγει αὐτῷ
ὁ Πιλᾶτος,
Οὐκ ἀκούεις
πόσα σου καταμαρτυροῦσιν;

Mt27:14 καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

Mk15:2 καὶ ἐπηρώτησεν αὐτὸν
ὁ Πιλᾶτος,
Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;
ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει,
Σὺ λέγεις.

Mk15:3 καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά.

Mk15:4 ὁ δὲ Πιλᾶτος πάλιν
ἐπηρώτα αὐτὸν λέγων,
Οὐκ ἀποκρίνῃ οὐδέν;
ἴδε πόσα σου κατηγοροῦσιν.

Mk15:5 ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλᾶτον.

Lk23:3 ὁ δὲ Πιλᾶτος
ἠρώτησεν αὐτὸν λέγων,
Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;
ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη,
Σὺ λέγεις.

----------

Lk23:9 ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς, αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

Lk23:10 εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ.

----------

Lk23:4 ὁ δὲ Πιλᾶτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους, Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.
Lk23:5 οἱ δὲ ἐπίσχυον λέγοντες ὅτι Ἀνασείει τὸν λαὸν διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, καὶ ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

----------

Lk23:13 Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν
Lk23:14 εἶπεν πρὸς αὐτούς, Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐθὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ' αὐτοῦ.
Lk23:15 ἀλλ' οὐδὲ Ἡρῴδης, ἀνέπεμψεν γὰρ αὐτὸν πρὸς ἡμᾶς, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶν πεπραγμένον αὐτῷ·
Lk23:16 παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

Jh18:29 ἐξῆλθεν οὖν ὁ Πιλᾶτος ἔξω πρὸς αὐτοὺς καὶ φησίν, Τίνα κατηγορίαν φέρετε [κατὰ] τοῦ ἀνθρώπου τούτου; Jh18:30 ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ, Εἰ μὴ ἦν οὗτος κακὸν ποιῶν, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Jh18:31 εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος, Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. εἶπον αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα· Jh18:32 ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ ὃν εἶπεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνῄσκειν. Jh18:33 Εἰσῆλθεν οὖν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλᾶτος καὶ ἐφώνησεν τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Jh18:34 ἀπεκρίθη Ἰησοῦς, Ἀπὸ σεαυτοῦ σὺ τοῦτο λέγεις ἢ ἄλλοι εἶπόν σοι περὶ ἐμοῦ; Jh18:35 ἀπεκρίθη ὁ Πιλᾶτος, Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; Jh18:36 ἀπεκρίθη Ἰησοῦς, Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο [ἄν], ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Jh18:37 εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος, Οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη ὁ Ἰησοῦς, Σὺ λέγεις ὅτι βασιλεύς εἰμι. ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. Jh18:38 λέγει αὐτῷ ὁ Πιλᾶτος, Τί ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς, Ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

## No. 177 *[339]*. Jesus or Barabbas? / イエスかバラバか

| Mt 27:15-23 | Mk 15:6-14 | Lk 23:18-23 |
| --- | --- | --- |
| **Mt27:15** Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον.<br>**Mt27:16** εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον [Ἰησοῦν] Βαραββᾶν. | **Mk15:6** Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὃν παρῃτοῦντο.<br>**Mk15:7** ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν στασιαστῶν δεδεμένος οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. | **Lk23:19** ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βληθεὶς ἐν τῇ φυλακῇ.<br>---------- |

**Jh18:39** ἔστιν δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα· βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; **Jh18:40** ἐκραύγασαν οὖν πάλιν λέγοντες, Μὴ τοῦτον ἀλλὰ τὸν Βαραββᾶν. ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

| | | |
| --- | --- | --- |
| **Mt27:17** συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλᾶτος, Τίνα θέλετε ἀπολύσω ὑμῖν, [Ἰησοῦν τὸν] Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;<br>**Mt27:18** ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.<br>**Mt27:19** Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.<br>**Mt27:20** Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, | **Mk15:8** καὶ ἀναβὰς ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς.<br>**Mk15:9** ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς λέγων, Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;<br>**Mk15:10** ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.<br>**Mk15:11** οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον ἵνα μᾶλλον τὸν Βαραββᾶν | **Lk23:18** ἀνέκραγον δὲ παμπληθεὶ |

| | | |
|---|---|---|
| | ἀπολύσῃ αὐτοῖς. | λέγοντες, Αἶρε τοῦτον, ἀπόλυσον |
| τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. | | δὲ ἡμῖν τὸν Βαραββᾶν· |
| **Mt27:21** ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς, Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπαν, Τὸν Βαραββᾶν. | **Mk15:12** ὁ δὲ Πιλᾶτος πάλιν ἀποκριθεὶς ---------- | |
| | ***Mk15:7 ......*** μετὰ τῶν στασιαστῶν δεδεμένος οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. ---------- | ***Lk23:19*** ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βληθεὶς ἐν τῇ φυλακῇ. |
| | ἔλεγεν αὐτοῖς, | **Lk23:20** πάλιν δὲ ὁ Πιλᾶτος προσεφώνησεν αὐτοῖς θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. |
| **Mt27:22** λέγει αὐτοῖς ὁ Πιλᾶτος, Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; | Τί οὖν [θέλετε] ποιήσω [ὃν λέγετε] τὸν βασιλέα τῶν Ἰουδαίων; | |
| λέγουσιν πάντες, Σταυρωθήτω. | **Mk15:13** οἱ δὲ πάλιν ἔκραξαν, Σταύρωσον αὐτόν. | **Lk23:21** οἱ δὲ ἐπεφώνουν λέγοντες, Σταύρου σταύρου αὐτόν. |
| **Mt27:23** ὁ δὲ ἔφη, Τί γὰρ κακὸν ἐποίησεν; | **Mk15:14** ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς, Τί γὰρ ἐποίησεν κακόν; | **Lk23:22** ὁ δὲ τρίτον εἶπεν πρὸς αὐτούς, Τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω. |
| οἱ δὲ περισσῶς ἔκραζον λέγοντες, Σταυρωθήτω. | οἱ δὲ περισσῶς ἔκραξαν, Σταύρωσον αὐτόν. | **Lk23:23** οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτούμενοι αὐτὸν σταυρωθῆναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν. |

**Jh19:4** Καὶ ἐξῆλθεν πάλιν ἔξω ὁ Πιλᾶτος καὶ λέγει αὐτοῖς, Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. **Jh19:5** ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς, Ἰδοὺ ὁ ἄνθρωπος. **Jh19:6** ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται ἐκραύγασαν λέγοντες, Σταύρωσον σταύρωσον. λέγει αὐτοῖς ὁ Πιλᾶτος, Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. **Jh19:7** ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμεῖς νόμον ἔχομεν· καὶ κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν θεοῦ ἑαυτὸν ἐποίησεν. **Jh19:8** Ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, **Jh19:9** καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν καὶ λέγει τῷ Ἰησοῦ, Πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. **Jh19:10** λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος, Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω ἀπολῦσαί σε καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε; **Jh19:11** ἀπεκρίθη [αὐτῷ] Ἰησοῦς, Οὐκ εἶχες ἐξουσίαν κατ' ἐμοῦ οὐδεμίαν εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν· διὰ τοῦτο ὁ παραδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει. **Jh19:12** ἐκ τούτου ὁ Πιλᾶτος ἐζήτει ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἐκραύγασαν λέγοντες, Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι. **Jh19:13** Ὁ οὖν Πιλᾶτος ἀκούσας τῶν λόγων τούτων ἤγαγεν ἔξω τὸν Ἰησοῦν καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθα. **Jh19:14** ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα ἦν ὡς ἕκτη. καὶ λέγει τοῖς Ἰουδαίοις, Ἴδε ὁ βασιλεὺς ὑμῶν. **Jh19:15** ἐκραύγασαν οὖν ἐκεῖνοι, Ἆρον ἆρον, σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλᾶτος, Τὸν βασιλέα ὑμῶν σταυρώσω; ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

## No. 178 *[341]*. Pilate Delivers Jesus to Be Crucified / 十字架刑の確定

| Mt 27:24-26 | Mk 15:15 | Lk 23:24-25 |
|---|---|---|
| **Mt27:24** ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων, Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου· ὑμεῖς ὄψεσθε. **Mt27:25** καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. | **Mk15:15** ὁ δὲ Πιλᾶτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι | **Lk23:24** καὶ Πιλᾶτος ἐπέκρινεν γενέσθαι τὸ αἴτημα αὐτῶν· |
| **Mt27:26** τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ. | ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκεν τὸν Ἰησοῦν φραγελλώσας ἵνα σταυρωθῇ. | **Lk23:25** ἀπέλυσεν δὲ τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς φυλακὴν ὃν ᾐτοῦντο, τὸν δὲ Ἰησοῦν παρέδωκεν τῷ θελήματι αὐτῶν. |

**Jh19:16** τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ. Παρέλαβον οὖν τὸν Ἰησοῦν.

## No. 179 *[342]*. Jesus Mocked by the Soldiers / 兵士らによる嘲弄

| Mt 27:27-31a | Mk 15:16-20a | Lk |
|---|---|---|
| **Mt27:27** Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. | **Mk15:16** Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστιν πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. | **Jh19:1** Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσεν. **Jh19:2** καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν **Jh19:3** καὶ ἤρχοντο πρὸς αὐτὸν καὶ ἔλεγον, Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. |
| **Mt27:28** καὶ ἐκδύσαντες αὐτὸν χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ, | **Mk15:17** καὶ ἐνδιδύσκουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ | |
| **Mt27:29** καὶ πλέξαντες στέφανον | πλέξαντες ἀκάνθινον στέφανον· | |

| | | |
|---|---|---|
| ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ | | |
| καὶ κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιξαν αὐτῷ λέγοντες, | **Mk15:18** καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν, | |
| Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων, | Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων· | |
| **Mt27:30** καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. | **Mk15:19** καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ. | |
| **Mt27:31** καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ | **Mk15:20a** καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ. | |

## No. 180 *[343]*. The Way to Golgotha / ゴルゴダへの道

| Mt 27:31b-32 | Mk 15:20b-21 | Lk 23:26-32 |
|---|---|---|
| **Mt27:31** καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. | **Mk15:20b** καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. | **Lk23:26** Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι |
| **Mt27:32** Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον | **Mk15:21** Καὶ ἀγγαρεύουσιν παράγοντά τινα | |
| Κυρηναῖον ὀνόματι Σίμωνα, τοῦτον | Σίμωνα Κυρηναῖον ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, | Σίμωνά τινα Κυρηναῖον ἐρχόμενον ἀπ' ἀγροῦ |
| ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. | ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. | ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν τοῦ Ἰησοῦ. |
| | | **Lk23:27** Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν αἳ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. **Lk23:28** στραφεὶς δὲ πρὸς αὐτὰς [ὁ] Ἰησοῦς εἶπεν, Θυγατέρες Ἰερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ· πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ |

**Jh19:16b** …… Παρέλαβον οὖν τὸν Ἰησοῦν, **Jh19:17** καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου Τόπον, ὃ λέγεται Ἑβραϊστὶ Γολγοθα,

| | | |
|---|---|---|
| **Th79** (1) Εἶπεν αὐτῷ τις γυνὴ ἐκ τοῦ ὄχλου· μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ οἱ μαστοὶ οἱ θρέψαντές σε. (2) Εἶπεν αὐτ[ῇ]· μακάριοί ἀκούσαντες τὸν λόγον τοῦ πατρὸς (καὶ) ἀληθῶς ἐφύλαξαν αὐτόν. (3) ἡμέραι γὰρ ἔσονται (καὶ) ἐρεῖτε· μακαρία ἡ κοιλία ἣ οὐ συνέλαβεν καὶ οἱ μαστοὶ οἳ οὐκ ἔδωκαν γάλα. *(As for (1) and (2), cf. Lk11:27-28)* | | τέκνα ὑμῶν, **Lk23:29** ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσιν, Μακάριαι αἱ στεῖραι καὶ αἱ κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ οἳ οὐκ ἔθρεψαν. **Lk23:30** τότε ἄρξονται **λέγειν τοῖς ὄρεσιν, Πέσετε ἐφ' ἡμᾶς, καὶ τοῖς βουνοῖς, Καλύψατε ἡμᾶς·** **Lk23:31** ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; |
| --------- <br><br> ***Mt27:38a*** *Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, ……* | --------- <br><br> ***Mk15:27a*** *Καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς,……* | **Lk23:32** Ἤγοντο δὲ καὶ ἕτεροι κακοῦργοι δύο σὺν αὐτῷ ἀναιρεθῆναι. |

## No. 181 *[344].* The Crucifixion / 十字架刑

| Mt 27:33-38 | Mk 15:22-27 | Lk 23:33-34 |
|---|---|---|
| **Mt27:33** Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστιν Κρανίου Τόπος λεγόμενος, | **Mk15:22** καὶ φέρουσιν αὐτὸν ἐπὶ τὸν Γολγοθᾶν τόπον, ὅ ἐστιν μεθερμηνευόμενον Κρανίου Τόπος. | **Lk23:33** καὶ ὅτε ἦλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, |
| **Mt27:34** ἔδωκαν αὐτῷ πιεῖν οἶνον μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἠθέλησεν πιεῖν. | **Mk15:23** καὶ ἐδίδουν αὐτῷ ἐσμυρνισμένον οἶνον· ὃς δὲ οὐκ ἔλαβεν. | |
| **Mt27:35a** σταυρώσαντες δὲ αὐτὸν | **Mk15:24a** καὶ σταυροῦσιν αὐτὸν | ἐκεῖ ἐσταύρωσαν αὐτὸν |

**Jh19:17** καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου Τόπον, ὃ λέγεται Ἑβραϊστὶ Γολγοθα, **Jh19:18** ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

| | | |
|---|---|---|
| ---------- <br> **Mt27:38b……** λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. <br> ---------- | ---------- <br> **Mk15:27b……** λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. <br> ---------- | καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀριστερῶν. |
| | | **Lk23:34** [[ὁ δὲ Ἰησοῦς ἔλεγεν, Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ |

| | | |
|---|---|---|
| **Mt27:35a** διεμερίσαντο<br>τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον,<br><br>**Mt27:36** καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. | **Mk15:24b** καὶ διαμερίζονται<br>τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον<br>ἐπ’ αὐτὰ τίς τί ἄρῃ. | οἴδασιν τί ποιοῦσιν.]]<br>διαμεριζόμενοι δὲ<br>τὰ ἱμάτια αὐτοῦ ἔβαλον κλήρους. |

**Jh19:23** Οἱ οὖν στρατιῶται ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι’ ὅλου. **Jh19:24** εἶπαν οὖν πρὸς ἀλλήλους, Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται˙ ἵνα ἡ γραφὴ πληρωθῇ [ἡ λέγουςα]˙ **Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.** Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

| | | |
|---|---|---|
| | **Mk15:25** ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. | |
| **Mt27:37** καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ<br>γεαμμένην˙<br>Οὗτός ἐστιν Ἰησοῦς<br>ὁ βασιλεὺς τῶν Ἰουδαίων. | **Mk15:26** καὶ ἦν ἡ ἐπιγραφὴ τῆς<br>αἰτίας αὐτου<br>˜ ἐπιγεγραμμένη,<br><br>Ὁ βασιλεὺς τῶν Ἰουδαίων. | ----------<br>***Lk23:38*** *ἦν δὲ καὶ ἐπιγραφὴ*<br>*ἐπ’ αὐτῷ,*<br><br><br>*Ὁ βασιλεὺς τῶν Ἰουδαίων οὗτος.*<br>---------- |
| **Mt27:38** Τότε σταυροῦνται<br>σὺν αὐτῷ δύο<br><br><br><br>λῃσταί, εἷς ἐκ δεξιῶν<br>καὶ εἷς ἐξ εὐωνύμων. | **Mk15:27** Καὶ<br>σὺν αὐτῷ σταυροῦσιν δύο<br><br><br><br>λῃστάς, ἕνα ἐκ δεξιῶν<br>καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. | ***Lk23:32*** *Ἤγοντο δὲ καὶ ἕτεροι κακοῦργοι δύο σὺν αὐτῷ ἀναιρεθῆναι.*<br>----------<br>***Lk23:33b*** ……καὶ τοὺς<br>κακούργους, ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ<br>ἐξ ἀριστερῶν. |

**Jh19:18** ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ’ αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. **Jh19:19** ἔγραψεν δὲ καὶ τίτλον ὁ Πιλᾶτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ˙ ἦν δὲ γεγραμμένον˙ Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων. **Jh19:20** τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς˙ καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ῥωμαϊστί, Ἑλληνιστί.

## No. 182 *[345]*. Jesus Derided on the Cross / 十字架上のイエス

| Mt 27:39-43 | Mk 15:29-32a | Lk 23:35-38 |
|---|---|---|

| | | |
|---|---|---|
| Mt27:39 Οἱ δὲ | Mk15:29 Καὶ οἱ | Lk23:35 καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. |
| παραπορευόμενοι ἐβλασφήμουν | παραπορευόμενοι ἐβλασφήμουν | |
| αὐτὸν | αὐτὸν | |
| κινοῦντες τὰς κεφαλὰς αὐτῶν | κινοῦντες τὰς κεφαλὰς αὐτῶν | |
| Mt27:40 καὶ λέγοντες, | καὶ λέγοντες, | |
| Ὁ καταλύων τὸν ναὸν καὶ | Οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ | |
| ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, | οἰκοδομῶν ἐν τρισὶν ἡμέραις, | |
| σῶσον σεαυτόν, | Mk15:30 σῶσον σεαυτὸν | |
| εἰ υἱὸς εἶ τοῦ θεοῦ*, | * Cf. Lk23:35. 37. | |
| [καὶ] κατάβηθι ἀπὸ τοῦ σταυροῦ. | καταβὰς ἀπὸ τοῦ σταυροῦ. | |
| Mt27:41 ὁμοίως καὶ οἱ ἀρχιερεῖς | Mk15:31 ὁμοίως καὶ οἱ ἀρχιερεῖς | ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες |
| ἐμπαίζοντες | ἐμπαίζοντες πρὸς ἀλλήλους | |
| μετὰ τῶν γραμματέων | μετὰ τῶν γραμματέων | |
| καὶ πρεσβυτέρων | | |
| ἔλεγον, | ἔλεγον, | λέγοντες, |
| Mt27:42 Ἄλλους ἔσωσεν | Ἄλλους ἔσωσεν | Ἄλλους ἔσωσεν, |
| ἑαυτὸν οὐ δύναται σῶσαι· | ἑαυτὸν οὐ δύναται σῶσαι· | σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν |
| | Mk15:32a ὁ Χριστὸς | ὁ Χριστὸς τοῦ θεοῦ* |
| βασιλεὺς Ἰσραήλ ἐστιν, | ὁ βασιλεὺς Ἰσραὴλ | ὁ ἐκλεκτός. * Cf. Mt27:40. |
| καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ | καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, | |
| καὶ πιστεύσομεν ἐπ᾽ αὐτόν. | ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. | |
| Mt27:43 πέποιθεν ἐπὶ τὸν θεόν, ῥυσάσθω νῦν εἰ θέλει αὐτόν· εἶπεν γὰρ ὅτι Θεοῦ εἰμι υἱός. | | |
| ---------- | ---------- | |
| *Mt27:48 καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν.* | *Mk15:36a δραμὼν δέ τις [καὶ] γεμίσας σπόγγον ὄξους περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν* | Lk23:36 ἐνέπαιξαν δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι, ὄξος προσφέροντες αὐτῷ |

Jh19:29 σκεῦος ἔκειτο ὄξους μεστόν· σπόγγον οὖν μεστὸν τοῦ ὄξους ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι.

| | | |
|---|---|---|
| | * Cf. Mt27:40. | Lk23:37 καὶ λέγοντες, |
| | | *Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. |
| ---------- | ---------- | |
| *Mt27:37 καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς* | *Mk15:26 καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη,* | Lk23:38 ἦν δὲ καὶ ἐπιγραφὴ ἐπ᾽ αὐτῷ, |

| | | |
|---|---|---|
| *ὁ βασιλεὺς τῶν Ἰουδαίων*. | *Ὁ βασιλεὺς τῶν Ἰουδαίων*. | Ὁ βασιλεὺς τῶν Ἰουδαίων οὗτος. |

**Jh19:19** ἔγραψεν δὲ καὶ τίτλον ὁ Πιλᾶτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων. **Jh19:20** τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ῥωμαϊστί, Ἑλληνιστί.

## No. 183 *[346]*. The Two Thieves / 二人の強盗

| Mt 27:44 | Mk 15:32b | Lk 23:39-43 |
|---|---|---|
| **Mt27:44** τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες σὺν αὐτῷ ὠνείδιζον αὐτόν. | **Mk15:32b** Καὶ οἱ συνεσταυρωμένοι σὺν αὐτῷ ὠνείδιζον αὐτόν. | **Lk23:39** Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων, Οὐχὶ σὺ εἶ ὁ Χριστός; σῶσον σεαυτὸν καὶ ἡμᾶς. **Lk23:40** ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπιτιμῶν αὐτῷ ἔφη, Οὐδὲ φοβῇ σὺ τὸν θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; **Lk23:41** καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. **Lk23:42** καὶ ἔλεγεν, Ἰησοῦ, μνήσθητί μου ὅταν ἔλθῃς εἰς τὴν βασιλείαν σου. **Lk23:43** καὶ εἶπεν αὐτῷ, Ἀμήν σοι λέγω, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. |

## No. 184 *[347]*. The Death of Jesus / イエスの最期

| Mt 27:45-54 | Mk 15:33-39 | Lk 23:44-48 |
|---|---|---|
| **Mt27:45** Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. | **Mk15:33** Καὶ γενομένης ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης. | **Lk23:44** Καὶ ἦν ἤδη ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης |

| | | |
|---|---|---|
| ----------<br>**Mt27:51a** Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπ’ ἄνωθεν ἕως κάτω εἰς δύο......<br>---------- | ----------<br>**Mk15:38** Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ’ ἄνωθεν ἕως κάτω.<br>---------- | **Lk23:45** τοῦ ἡλίου ἐκλιπόντος, ἐσχίσθη δὲ τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. |
| **Mt27:46** περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων, Ηλι ηλι λεμα σαβαχθανι; τοῦτ’ ἔστιν, Θεέ μου θεέ μου, ἱνατί με ἐγκατέλιπες; | **Mk15:34** καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, Ελωι ελωι λεμα σαβαχθανι; ὅ ἐστιν μεθερμηνευόμενον Ὁ θεός μου ὁ θεός μου, εἰς τί ἐγκατέλιπές με; | |
| **Mt27:47** τινὲς δὲ τῶν ἐκεῖ ἑστηκότων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. | **Mk15:35** καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον, Ἴδε Ἠλίαν φωνεῖ. | ----------<br>***Lk23:36*** *ἐνέπαιξαν δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι, ὄξος προσφέροντες αὐτω*<br>---------- |
| **Mt27:48** καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. | **Mk15:36** δραμὼν δέ τις [καὶ] γεμίσας σπόγγον ὄξους περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν | |
| **Mt27:49** οἱ δὲ λοιποὶ ἔλεγον, Ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. | λέγων, Ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. | |
| **Mt27:50** ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ<br><br>ἀφῆκεν τὸ πνεῦμα. | **Mk15:37** ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην<br><br>ἐξέπνευσεν. | **Lk23:46** καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπεν, Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. τοῦτο δὲ εἰπὼν ἐξέπνευσεν. |

**Jh19:28** Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι ἤδη πάντα τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει, Διψῶ. **Jh19:29** σκεῦος ἔκειτο ὄξους μεστόν˙ σπόγγον οὖν μεστὸν τοῦ ὄξους ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. **Jh19:30** ὅτε οὖν ἔλαβεν τὸ ὄξος [ὁ] Ἰησοῦς εἶπεν, Τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκεν τὸ πνεῦμα.

| | | |
|---|---|---|
| ***Mt27:51*** Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπ’ ἄνωθεν ἕως κάτω εἰς δύο καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν,<br>**Mt27:52** καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν, | ***Mk15:38*** Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ’ ἄνωθεν ἕως κάτω. | ----------<br>***Lk23:45*** τοῦ ἡλίου ἐκλιπόντος, ἐσχίσθη δὲ τὸ καταπέτασμα τοῦ ναοῦ μέσον<br>---------- |

| | | |
|---|---|---|
| Mt27:53 καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. | | |
| Mt27:54 Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα,λέγοντες,<br>Ἀληθῶς<br>θεοῦ υἱὸς ἦν οὗτος. | Mk15:39 Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτως ἐξέπνευσεν<br>εἶπεν,<br>Ἀληθῶς<br>οὗτος ὁ ἄνθρωπος υἱὸς θεοῦ ἦν. | Lk23:47 Ἰδὼν δὲ ὁ ἑκατοντάρχης<br>τὸ γενόμενον<br>ἐδόξαζεν τὸν θεὸν λέγων,<br>Ὄντως<br>ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.<br>Lk23:48 καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωρήσαντες τὰ γενόμενα, τύπτοντες τὰ στήθη ὑπέστρεφον. |

## No. 185 *[348]*. Witnesses of the Crucifixion / 十字架刑の証人達

| Mt 27:55-56 | Mk 15:40-41 | Lk 23:49 |
|---|---|---|
| Mt27:55 Ἦσαν δὲ ἐκεῖ<br>γυναῖκες πολλαὶ<br>ἀπὸ μακρόθεν θεωροῦσαι,<br>αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ<br>ἀπὸ τῆς Γαλιλαίας<br>διακονοῦσαι αὐτῷ·<br>Mt27:56 ἐν αἷς ἦν<br>Μαρία ἡ Μαγδαληνὴ<br>καὶ Μαρία ἡ τοῦ Ἰακώβου<br>καὶ Ἰωσὴφ μήτηρ<br>καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. | Mk15:40 Ἦσαν δὲ καὶ<br>γυναῖκες<br>ἀπὸ μακρόθεν θεωροῦσαι,<br>ἐν αἷς καὶ<br>Μαρία ἡ Μαγδαληνὴ<br>καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ<br>καὶ Ἰωσῆτος μήτηρ<br>καὶ Σαλώμη,<br>Mk15:41 αἳ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ<br>καὶ διηκόνουν αὐτῷ,<br>καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα. | Lk23:49 εἱστήκεισαν δὲ<br>πάντες οἱ γνωστοὶ αὐτῷ<br>ἀπὸ μακρόθεν καὶ γυναῖκες<br>αἱ συνακολουθοῦσαι αὐτῷ<br>ἀπὸ τῆς Γαλιλαίας,<br>ὁρῶσαι ταῦτα.<br><br>Jh19:25 εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ Μαγδαληνή.<br><br>----------<br>***Lk8:2*** *καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ* |

| | | |
|---|---|---|
| | | *καλουμένη Μαγδαληνή, ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,* **Lk8:3** *καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρῴδου καὶ Σουσάννα καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτοῖς ἐκ τῶν ὑπαρχόντων αὐταῖς.* ---------- **Lk23:55** *Κατακολουθήσασαι δὲ αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι ἐκ τῆς Γαλιλαίας αὐτῷ, ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ,* |

## No. 186 *[350].* The Burial of Jesus / 埋葬

| Mt 27:57-61 | Mk 15:42-47 | Lk 23:50-56 |
|---|---|---|
| Mt27:57 Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἁριμαθαίας, τοὔνομα Ἰωσήφ, | Mk15:42 Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή ὅ ἐστιν προσάββατον, Mk15:43 ἐλθὼν Ἰωσὴφ [ὁ] ἀπὸ Ἁριμαθαίας εὐσχήμων βουλευτής, | Lk23:50 Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσὴφ βουλευτὴς ὑπάρχων [καὶ] ἀνὴρ ἀγαθὸς καὶ δίκαιος Lk23:51 οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν ἀπὸ Ἁριμαθαίας πόλεως τῶν Ἰουδαίων, |
| ὃς καὶ αὐτὸς ἐμαθητεύθη τῷ Ἰησοῦ· | ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ, | ὃς προσεδέχετο τὴν βασιλείαν τοῦ θεοῦ, |
| Mt27:58 οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. τότε ὁ Πιλᾶτος | τολμήσας εἰσῆλθεν πρὸς τὸν Πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Mk15:44 ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν· | Lk23:52 οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ |

| | | |
|---|---|---|
| ἐκέλευσεν ἀποδοθῆναι. | **Mk15:45** καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ πτῶμα τῷ Ἰωσήφ. | |
| **Mt27:59** καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ [ἐν] σινδόνι καθαρᾷ | **Mk15:46** καὶ ἀγοράσας σινδόνα καθελὼν αὐτὸν ἐνείλησεν τῇ σινδόνι | **Lk23:53** καὶ καθελὼν ἐνετύλιξεν αὐτὸ σινδόνι |
| **Mt27:60** καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. | καὶ ἔθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας καὶ προσεκύλισεν λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. | καὶ ἔθηκεν αὐτὸν ἐν μνήματι λαξευτῷ οὗ οὐκ ἦν οὐδεὶς οὔπω κείμενος. |
| **Mt27:61** ἦν δὲ ἐκεῖ Μαριὰμ ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία καθήμεναι ἀπέναντι τοῦ τάφου. | **Mk15:47** ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰωσῆτος ἐθεώρουν ποῦ τέθειται.<br>---------- | |
| | ***Mk16:1*** *Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ [τοῦ] Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.* | **Lk23:54** καὶ ἡμέρα ἦν παρασκευῆς καὶ σάββατον ἐπέφωσκεν.<br>**Lk23:55** Κατακολουθήσασαι δὲ αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι ἐκ τῆς Γαλιλαίας αὐτῷ, ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ,<br>**Lk23:56** ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν. |

**Jh19:38** Μετὰ δὲ ταῦτα ἠρώτησεν τὸν Πιλᾶτον Ἰωσὴφ [ὁ] ἀπὸ Ἁριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλᾶτος. ἦλθεν οὖν καὶ ἦρεν τὸ σῶμα αὐτοῦ. **Jh19:39** ἦλθεν δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡς λίτρας ἑκατόν. **Jh19:40** ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶν τοῖς Ἰουδαίοις ἐνταφιάζειν. **Jh19:41** ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν ἐν ᾧ οὐδέπω οὐδεὶς ἦν τεθειμένος· **Jh19:42** ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

## No. 187 *[352].* The Proclamation of Resurrection to the Women / 女たちへの復活宣言

| Mt 28:1-8 | Mk 16:1-8 | Lk 24:1-12 |
|---|---|---|
| **Mt28:1** Ὀψὲ δὲ σαββάτων, | **Mk16:1** Καὶ διαγενομένου τοῦ | **Lk24:1** τῇ δὲ |
| τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων | σαββάτου | |
| ἦλθεν | | |
| Μαριὰμ ἡ Μαγδαληνὴ | Μαρία ἡ Μαγδαληνὴ * | |
| καὶ ἡ ἄλλη Μαρία | καὶ Μαρία ἡ [τοῦ] Ἰακώβου* | *Cf. Lk24:10. |
| | καὶ Σαλώμη | |
| | ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι | |
| | ἀλείψωσιν αὐτόν. | |
| | **Mk16:2** καὶ λίαν πρωῒ | |
| | τῇ μιᾷ τῶν σαββάτων | μιᾷ τῶν σαββάτων |
| θεωρῆσαι τὸν τάφον. | | ὄρθρου βαθέως |
| | ἔρχονται ἐπὶ τὸ μνημεῖον | ἐπὶ τὸ μνῆμα ἦλθον |
| | ἀνατείλαντος τοῦ ἡλίου. | φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα. |
| **Mt28:2** καὶ ἰδοὺ σεισμὸς ἐγένετο | | |
| μέγας· ἄγγελος γὰρ κυρίου καταβὰς | | |
| ἐξ οὐρανοῦ καὶ προσελθὼν | **Mk16:3** καὶ ἔλεγον πρὸς ἑαυτάς, | |
| ἀπεκύλισεν τὸν λίθον καὶ ἐκάθητο | Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον | **Lk24:2** εὗρον δὲ τὸν λίθον |
| ἐπάνω αὐτοῦ. | ἐκ τῆς θύρας τοῦ μνημείου; | |
| | **Mk16:4** καὶ ἀναβλέψασαι | |
| | θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ | ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, |
| | λίθος· ἦν γὰρ μέγας σφόδρα. | |
| | **Mk16:5** καὶ εἰσελθοῦσαι εἰς τὸ | **Lk24:3** εἰσελθοῦσαι δὲ οὐχ εὗρον |
| | μνημεῖον | τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. |
| | | **Lk24:4** καὶ ἐγένετο ἐν τῷ |
| | | ἀπορεῖσθαι αὐτὰς περὶ τούτου καὶ |
| | εἶδον νεανίσκον καθήμενον ἐν τοῖς | ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν |
| **Mt28:3** ἦν δὲ ἡ εἰδέα αὐτοῦ ὡς | δεξιοῖς περιβεβλημένον στολὴν | ἐσθῆτι ἀστραπτούσῃ. |
| ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν | λευκήν, | |
| ὡς χιών. | | |
| | καὶ ἐξεθαμβήθησαν. | **Lk24:5** ἐμφόβων δὲ γενομένων |
| **Mt28:4** ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ | | αὐτῶν καὶ κλινουσῶν τὰ πρόσωπα |
| ἐσείσθησαν οἱ τηροῦντες καὶ | | εἰς τὴν γῆν |
| ἐγενήθησαν ὡς νεκροί. | | |
| **Mt28:5** ἀποκριθεὶς δὲ ὁ ἄγγελος | **Mk16:6** ὁ δὲ λέγει αὐταῖς, | εἶπαν πρὸς αὐτάς, |
| εἶπεν ταῖς γυναιξίν, | | |
| Μὴ φοβεῖσθε ὑμεῖς, | Μὴ ἐκθαμβεῖσθε· | |
| οἶδα γὰρ ὅτι Ἰησοῦν | Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν | Τί ζητεῖτε τὸν ζῶντα |

τὸν ἐσταυρωμένον ζητεῖτε·
**Mt28:6** οὐκ ἔστιν ὧδε,
ἠγέρθη γὰρ
καθὼς εἶπεν·
δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο.
**Mt28:7** καὶ ταχὺ πορευθεῖσαι
εἴπατε τοῖς μαθηταῖς αὐτοῦ
ὅτι Ἠγέρθη
ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ
προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν,
ἐκεῖ αὐτὸν ὄψεσθε·
ἰδοὺ εἶπον ὑμῖν.

----------

***Mt26:32*** *μετὰ δὲ*
*τὸ ἐγερθῆναί με προάξω ὑμᾶς*
*εἰς τὴν Γαλιλαίαν.*

----------

***Mt28:10*** *τότε λέγει αὐταῖς ὁ Ἰησοῦς, Μὴ φοβεῖσθε· ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται.*

----------

**Mt28:8** καὶ ἀπελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.

τὸν ἐσταυρωμένον·
ἠγέρθη,
οὐκ ἔστιν ὧδε·
ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν.
**Mk16:7** ἀλλὰ ὑπάγετε
εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι
Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν·
ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.

----------

***Mk14:28*** *ἀλλὰ μετὰ*
*τὸ ἐγερθῆναί με προάξω ὑμᾶς*
*εἰς τὴν Γαλιλαίαν.*

----------

**Mk16:8** καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχεν γὰρ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπαν· ἐφοβοῦντο γάρ.

μετὰ τῶν νεκρῶν·
**Lk24:6** οὐκ ἔστιν ὧδε,
ἀλλὰ ἠγέρθη.
μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ
**Lk24:7** λέγων τὸν υἱὸν τοῦ ἀνθρώπου ὅτι δεῖ παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.
**Lk24:8** καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

**Lk24:9** καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσιν τοῖς λοιποῖς.
**Lk24:10** ἦσαν δὲ
ἡ Μαγδαληνὴ Μαρία*
καὶ Ἰωάννα
καὶ Μαρία ἡ Ἰακώβου*

*Cf. Mk16:1.

καὶ αἱ λοιπαὶ σὺν αὐταῖς.
ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα,

| | | |
|---|---|---|
| | | **Lk24:11** καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα, καὶ ἠπίστουν αὐταῖς. **Lk24:12** Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον καὶ παρακύψας βλέπει τὰ ὀθόνια μόνα, καὶ ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. |

**Jh20:1** Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. **Jh20:2** τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς καὶ λέγει αὐτοῖς,῞Ηραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. **Jh20:3** Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. **Jh20:4** ἔτρεχον δὲ οἱ δύο ὁμοῦ˙ καὶ ὁ ἄλλος μαθητὴς προέδραμεν τάχιον τοῦ Πέτρου καὶ ἦλθεν πρῶτος εἰς τὸ μνημεῖον, **Jh20:5** καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. **Jh20:6** ἔρχεται οὖν καὶ Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, **Jh20:7** καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. **Jh20:8** τότε οὖν εἰσῆλθεν καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον καὶ εἶδεν καὶ ἐπίστευσεν˙ **Jh20:9** οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. **Jh20:10** ἀπῆλθον οὖν πάλιν πρὸς αὐτοὺς οἱ μαθηταί.